ΛΕΙΤΟΥΡΓΙΑ ΒΡΕΤΤΑΝΙΚΗ

ΗΓΟΥΝ ΒΙΒΛΟΣ ΔΗΜΟΣΙΩΝ ΕΥΧΩΝ ΚΑΙ ΔΙΑΚΟΝΗΣΕΩΣ ΜΥΣΤΗΡΙΩΝ

καὶ τῶν ἄλλων Θεσμῶν καὶ τελετῶν ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν Ἀγγλικανῇ εἰς τὴν τῶν φιλελλήνων νέων χάριν ἑλληνιστὶ ἐκδοθεῖσα.

LIBER PRECVM PVBLICARVM

Ac Celebrationis Sacramentorum reliquorumq; Rituum & Cæremoniarum in Ecclesiâ nostrâ *Anglicanâ*, in studiosæ juventutis gratiam nunc primùm græcè editus.

Operâ & Studio ELIÆ PETITI *Presbyteri*.

LONDINI

Typis *Tho. Cotes* pro *Richardo Whitakero* ad insignia Regis in Cœmeterio D. *Pauli*. MDCXXXVIII.

REVERENDISSIMO
IN CHRISTO PATRI
AC
HONORATISSIMO DOMINO
D. GVILIELMO
Cantvariensi Archiepiscopo.
Totivs Angliæ Primati
Ac Metropolitæ, Regiæ
Mati. à Consiliis Sancti-oribus, &
Academiæ Oxoniensis
CANCELLARIO.

NOvit singularis illa Tua & penè divina perspicacitas, quam incredibili impetu tenella studiosorum ætas, ad græcarum litterarum cognitionem effervescat. Nec immeritò, nam ut

Poeta. *Graiis ingenium: Graiis dedit ore rotundo Musa loqui* ——. Neque opus erit tricubitali aliquo commentario, aut multo margine ostendere; quanti sit momenti cum ad Ecclesiæ tum Reipub. pacem ac felicitatem promovendam, istud *a teneris assuescere*, non tam propter nativam docilitatem, cum *udum & molle lutum est*: quàm propter fidam istius indolis ac diuturnam tenacitatem. Altiùs. n. agit radices virtus, penitiùs imprimitur religio, obnixiùs hæret in medullis disciplina: quæ ἔτι παιδίοις ἐναπομέμακται, καὶ ψυχαῖς ἁπαλαῖς ἐντήκεται. & ut Plato eleganter ac more suo, παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. Vnde consequitur Philosophorum omnium, quotquot de repub. scripserunt, observatio; *inanes esse leges nisi juventus rectè instituatur*: præsertim cum infanda scelera non è plebeiis & humi repentibus ingeniis, sed ex altis & generosis (dissolutâ tantum educatione depravatis) prodiere. Hinc eximius ille athleta Christi Dr. *G. Whitakerus*, Cantabrigiæ olim Theologiæ professor

operæ

operæ precium duxit; religionis nostræ fundamentum magnâ ex parte græcè convertere, & juventuti nostræ commendare. Nempe sensit ille Vir sanctus, si hoc modo delectabili & accepto, neophytis elementa divini cultus quasi ἄδολον γάλα propinaret: habitudine jam corroboratis, futurum esse conformitatis depositum, unanimitatis tesseram; & ejusdem undique receptæ & approbatæ pietatis symbolum. Verum enim vero, quo pacto nescio, sive lenitate eorum qui gubernacula tractarunt, (quòd infrà cognitionem longè subsidit) sive operosâ sedulitate eorum qui novos motus conversionesque reip. moliebantur, seu vertigine eorum qui formandæ pueritiæ præfuerunt (pro ut scilicet religionis opinione vergebant) hi quidem πᾶππα φρονῦντες, illi autem nuperam disciplinam admirantes, utrinque exterarum institutionum γοητείᾳ ῥεμβόμενοι: descivit sanè & prorsus obsoluit gravissimi Theologi utilissimum propositum. Et quid mirum facessere è scholis, cum non ita pridem è tem-

 plis,

plis, è choris, ex ipſo ambone diſiecta hæc quodammodo, & penè detruſâ meminerimus! Quænam enim erat Eccleſia medius fidius (præſertim in urbibus hominum confluentiâ nobilitatis) ubi præſcripta precum publicarum ſeries non luxata, non intercepta, non aliquâ ſaltem mutilatione delumbata fuit? Ἀποσπάσματα; confiteor, & ut Comicus, τῶν λόγων σκινδαλμοὶ (quæ minùs factioſorum ſtomacho nauſeæ fuerunt) quaſi πάρεργα aut proluſiones a lectore ex infimis ſubſelliis emurmurabantur, donec forſan auditorum corona ſtiparetur. Dein ſuggeſtum conſcendit: qui repentino ſpiritus afflatu, novam, tumultuariam, atque ante hoc ſæculum in Eccleſiâ Chriſti prorſus inauditam precandi farraginem, eodem nictu conciperet, & effunderet. Ac papè! hæc eſt illa *Helena*, pro quâ tam acri, ardenti & inflammato animo, digladiantur iſta pugnaciſſima animalia: quam ſic efflictim depereunt, ut (cum rabido iſto amatore) *deleant omnes dehinc ex animo* orationes, *& tædet harum quotidianarum formularum.* Hinc

mirâ

mirâ intemperie, calumniarum examina, conviciorum plaustra, infames libelli; frivolâ, arroganti, & (ne quid graviùs dicam) inani maledicentiâ referti: quasi faces ab istis portentis & reip. bustis, in vulgus agitantur.

Iam tandem vero vestrâ (Sacratiss. Antistes) potissimûm curâ, vestrâ industriâ, sub potentissimo & pientissimo Rege nostro *CAROLO*: non solùm in celeberrima hujus Imperii Civitate, sed in omnibus totius hujusce Insulæ regionibus; sacram LEITVRGIAM pristinæ suæ dignitati restitutam, ac solenni more observatam; alma mater Ecclesia seriò sibi gratulatur.

Quocirca è situ suo & latebris, græco prodit pallio, non modo particula, quondam a prædicto Professore edita: sed universa λειτȣργίας ἀκολȣθία, è Scripturæ sacræ latomiis, primitivæ Ecclesiæ idæis, veterumque patrum monumentis, è Synaxariis, Euchologiis, reliquisq; priscæ & reconditæ disciplinæ ruderibus; summâ quâ potui fide &

& diligentiâ eruta, effossa, doláta, polita. Humillimè obsecrans, ut sub vestri nominis clientelâ, & authoritatis vestræ auspiciis; in manus, in mentes studiosæ nostræ juventutis illabatur: quò sc. ejus ope succenturiatâ, tyrunculi nostri ἑλληνοχριστιανίζοντες, sacerdotem rem divinam facientem; per omnia Ecclesiæ κατορθώματα lubenter possint comitari. Lubenter, inquam; quia nihil hisce jucundius, quàm ardua & exotica vocabula; quasi vernaculâ suâ anticipatione divinantes; enucleatè interpretari. nihil utilius, quàm pensiculatâ recognitione, vagos & instabiles animi motus compescere, odiosum carnis fastidium lenire; naturalẽ veternum excutere: atque erga hæc divina στοιχεῖα (quæ vix anteà perfunctoriè attigerunt) quæ quasi trita & vulgaria susque deq; habuerunt: ab istâ gente pertinaci debitũ elicere obsequiũ, & sequacem extorquere reverentiam. Eant igitur qui oggan-niunt, quorsum hæc? cui inquiunt usui? qui fremunt ulli omnino esse usui; etiam in linguâ suâ Anglicanâ.

Tu

Tu autem ὦ ἱερὰ κεφαλή, præsta scholis (nam in tantâ negociorum mole, tibi etiam curæ est hæc cura) quod & templis præstitisti. Nitescent sanè & scintillabunt hæ antiquitatis gemmæ; si a stellâ tantæ magnitudinis, influentiam non dico, aut ὦσιν ϗ ἕλξιν: sed vel benignum aliquem aspectum, aut salutarem ἀκτινοβολίαν audebunt expectare. Et quid ni audebunt? ab istâ Clementia; quæ ut optimarum litterarum studia mirificè amplectitur: ita conat9 aliorum saltem laudabiles, benivolo fovere patrocinio, usquequâque non dedignatur.

Meam quod attinet tenuitatem, ne is quidem sum qui hæc pro ut rei dignitas postulat; accuratè satis me transdedisse velim polliceri. Imo ὐχ ἀγνοῶ ἡλίκος ὢν ὅσον τὸ μέγεθος ἔργον ἐνίστημι. Nec solum magnitudini operis succumbo, sed conscius sum hallucinationum, σύνοιδα γὰρ ἐμαυτῷ ἀπαιδεύτῳ ὄντι. Obtestor igitur D.V. & Vniversam remp. Litterariam; cognoscatis, quantilla sint quæ mea sunt: quæ sumptu quidem exhausto, labore verô inexhausto convasavi

potius

potius quàm composui. Nec veniam pro laude, sed subsidium pro suffragio peto: alibi candorem, heic censuram postulo, sicubi lapsus sum, aut si quid mihi elapsum, corrigat lector, non culpet. Opere in magno obrepsit somnus? excitet, erigat vigilantior; facem præferat caliganti: nemo tam promptus erit ad monendum quàm ego ad mutandum. Peritos igitur linguæ exoratos velim, ut dignentur mihi ἐθελόντως εἰσφέρειν τὸν ἔρανον —— ἵνα καὶ αὐτῶν περίσσευμα γένηται εἰς ἡμῶν ὑστέρημα.

Deus opt. max. ὁ Ἀρχιποίμην καὶ Ἐπίσκοπος τῶν ψυχῶν D. V. Ecclesiæ, Reip. litterarum, litteratorumque solatio, oppressorum alloquio, χληροβόρων δὲ ἀναχαιτισμῷ; quàm diutissimè servet incolumem: & serò (serò precor) in sedem reponat beatorum.

AMPLITVDINI

Vestræ

Devotiss.

ELIAS PETLEY.

ΣΥΛΛΑΒΟΣ.

1. Τὸ ψήφισμα ὑπὲρ τῆς δημοσίων εὐχῶν μονοειδοῦς λόγου.
2. Τὸ κήρυγμα Βασιλικὸν ἐπὶ τὸ ἐξετάζεσθαι ταύτην τὴν βίβλον.
3. Τὰ προλεγόμενα.
4. Διατριβὴ περὶ τῶν Τελετῶν· ἵνα τί αἱ μὲν ἀκυροῦνται, αἱ δὲ βεβαιοῦνται.
5. Ἡ τάξις ὅπως ἀναγνωστέον ἐστὶ τὸ Ψαλτήριον.
6. Ἡ τάξις ὅπως τὰ λοιπὰ παναγίων τῶν Γραφῶν ἀναγνωσθῆναι προσγέγραπται.
7. Ἴδιοι ψαλμοί, καὶ ἴδια τὰ ἀναγνώσματα, ἐν Ἑωθιναῖς τε καὶ Ἑσπεριναῖς εὐχαῖς, ἐπὶ τὰς Κυριακάς τε, καὶ ἄλλας τινὰς Ἑορτασίμους ἡμέρας.
8. Πίναξ διατάξεως ψαλμῶν, καθ' ὅλον τὸν ἐνιαυτὸν ἐν Ἑωθιναῖς τε, καὶ Ἑσπεριναῖς εὐχαῖς, εἰρημένων.
9. Τὸ Μηνολόγιον.
10. Πίναξ καὶ Καλανδάριον τῶν ψαλμῶν, καὶ ἀναγνωσμάτων, μετὰ κανόνων τινῶν ἀναγκαίων ἀπαρτηθέντων.
11. Τὰ τυπικὰ Ὀρθρινῶν καὶ Ἑσπερινῶν εὐχῶν ὁσημέραι καθ' ἔτος.
12. Λιτανεία.
13. Συλλογαί, Ἐπιστολαί τε, καὶ Εὐαγγέλια, οἵπερ ἀνήκει χρῆσθαι ἐν τῇ ὑπηρετήσει παναγίας τῆς Συνάξεως καθ' ἔτος.
14. Ἡ τάξις παναγίας τῆς Συνάξεως.
15. Βαπτισμὸς δημόσιος, καὶ ἴδιος.
16. Ἐπικύρωσις, ὅπου δὴ καὶ Κατήχησις τῶν παιδίων.
17. Τελείωσις τοῦ Γάμου.
18. Ἐπίσκεψις τῶν Καμνόντων.
19. Σύναξις τῶν Καμνόντων.
20. Ἡ Ταφὴ τῶν Νεκρῶν.
21. Εὐχαριστήριον γυναικῶν μετὰ τὴν Λοχείαν.
22. Ἡ Ἀπειλὴ κατὰ ἁμαρτωλῶν.

¶ ΤΟ ΨΗΦΙΣΜΑ ΥΠΕΡ ΤΟΥ ΤΩΝ δημοσίων εὐχῶν, τῆς τε Λειτουργίας, καὶ τῆς τῶν Μυστηρίων ὑπηρετήσεως, ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν Ἀγγλικανῇ, μονοειδοῦς λόγου.

Ἐπειδήπερ ὡς ἄρτι τελευτήσαντος γαληνοτάτου Κυρίου ἡμῶν ἄνακτος Ἐδουάρδου τοῦ ἕκτου, μία καὶ προσήκουσα ἡ τάξις δημοσίου τῆς Λειτουργίας εὐχῶν, καὶ διακονήσεως Μυστηρίων, Θεσμῶν τε, καὶ Τελετῶν, ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν Ἀγγλικανῇ, ἄχρι περιείχετο ἐνὶ βίβλῳ τινί, ἣ ἐπιγραφὴ φέρεται, Βίβλος δημοσίων εὐχῶν, Λειτουργήσεως, Μυστηρίων τε, καὶ ἄλλων Θεσμῶν, καὶ Τελετῶν, ἐν τῇ Ἐκκλησίᾳ Ἀγγλικανῇ, ἐξουσίᾳ ψηφίσματος τοῦ Παρλιαμέντου ἐνιαυτοῖς, ε. καὶ ϛ. τοιούτου γαληνοτάτου Κυρίου ἡμῶν Βασιλέως Ἐδουάρδου ἕκτου βεβαιωμένη· ἥτις νόμῳ τινὶ Παρλιαμέντου ἐνιαυτῷ γαληνοτάτης δεσποίνης ἡμῶν Βασιλίσσης τῆς Μαρίας πρώτῳ, πρὸς τὸν τιμῆς τοῦ Θεοῦ ὀφειλομένης ἐκφαυλισμόν, καὶ πρὸς τὴν τῶν θεοσέβειαν χριστιανικῆς ὁμολογούντων ἀτιμωρείαν, ἀφῄρεται καὶ καταλέλυται.

Ἐγνωσμένον ἄρα εἴη τῇ τοῦ παρόντος Παρλιαμέντου ἐξουσίᾳ, ὅτι τοῦτο τὸ συμβούλευμα, καὶ πᾶν ἐν αὐτῷ περιεχόμενον, ὅσον γὰρ καὶ ταύτην τὴν Βίβλον, θεῖαν τε Λειτουργίαν, καὶ ὑπηρεσίαν Μυστηρίων, Θεσμῶν τε, καὶ Τελετῶν, καθὼς ἐν ταύτῃ τῇ Βίβλῳ κατέχεται καὶ ὑποτυποῦται, ἀπὸ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγγυτάτω παραγινομένης, ἄκυρα γενήσεται, καὶ οὐδεμίας τῆς ἰσχύος. Καὶ μὴν καὶ ὅτι αὕτη ἡ Βίβλος, ἅμα καὶ αὐτὴ ἡ τάξις τῆς θείας Λειτουργίας τε, καὶ ὑπηρεσίας Μυστηρίων, Θεσμῶν, καὶ Τελετῶν, καὶ τὰ μεταβληθέντα, καὶ προστεθέντα, καὶ τἆλλα τούτῳ τῷ ψηφίσματι ἀπαρτισθησόμενα, ἀφ' Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ, κατὰ νοῦν, συνέχειαν, καὶ ἐνέργειαν τούτου τοῦ συμβουλεύματι αὐτῇ ἐγκειμένα (οὐδ' ὁτιοῦν οὖν ἐναντιωμένου) ἰσχυρά, καὶ βέβαια, γενήσεσθαί τε καὶ περιμενεῖν.

Ἔτι δὴ ἐγνωσμένον εἴη, Μεγαλειότητι τῇ βασιλικῇ, μετὰ τῆς τῶν Δυναστῶν, Μεγιστάνων, καὶ τοῦ δήμου ἐνεστῶτι τῷ Παρλιαμέντῳ συλλεχθέντος προσομολογίας τε καὶ συμφωνήσεως, καὶ ἐξουσίᾳ αὐτοῦ, ἵνα ἁπαξάπαντες, καὶ ἕκαστοι οἱ ὑπηρέται ἐν ὁτινιοῦν ναῷ Καθεδραίῳ τε, καὶ παροικικῷ, ἢ ἄλλῳ τινὶ

τινι τῶν χώρων καὶ τόπων, ἔσω τῆς Βασιλείας τῆς Ἀγγλίας, καὶ ἔσω τῆς Οὐαλλίας, ἢ Μαρχιῶν αὐτῆς, καὶ μάλα ἐν ἄλλῃ τινὶ τῶν ὑπὸ τὴν Βασιλίσσης ἡμῶν ἐπικρατείᾳ, ἀπὸ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγγυτάτω μελλούσης, ὀφείλουσι λέξαι καὶ τελέσαι εὐχὰς Ἑωθινάς τε, καὶ Ἑσπερινὰς, τελείωσιν δείπνου τοῦ Κυριακοῦ, ὑπηρεσίαν τῶν Μυστηρίων, καὶ τὰ λοιπὰ τῶν κοινῶν καὶ δημοσίων εὐχῶν, κατὰ τάξιν δηλαδὴ καὶ μορφὴν, τὴν ἐν βίβλῳ διὰ Παρλιαμέντου ἐνιαυτῷ ε. καὶ ς. Ἐδουάρδου τοῦ ἕκτου Βασιλέως ἡμῶν κατασταθείσῃ διὰ πλειόνων ἐξηγγελμένην, μεθ' ἑνικῆς μόνου ἀλλοιώσεως, ἢ προσθήκης τινὸς ἀναγνωσμάτων εἰς μίαν ἑκάστην τὴν Κυριακὴν κατ' ἔτος ὡρισμένων, ἅμα καὶ μετὰ τύπου τινὸς λιτανειῶν ἀλλαττομένων καὶ ἐπανορθωμένων, καὶ προσέτι μετὰ δυοῖν τῶν ῥησειδίων, ἐν τῷ τοῖς κοινωνοῦσι μεταδοῦναι τὸ δεῖπνον, προστεθέντων, καὶ οὐδαμῶς ἄλλῃ πῇ. Εἰ ἄρα τις Ἐκκλησιαρχῶν, ἢ τοποτηρητῶν, ἢ ἄλλων τινῶν οὐ ὑπηρετῶν, ὧν ἐστιν ᾄδειν ἢ λέγειν δημοσίας τὰς εὐχὰς, ὧν περὶ ἐν τῇ προειρημένῃ Βίβλῳ ἄνω μνημονεύεται, ἢ δὲ τὰ Μυστήρια ἐπιτελεῖν, ἀπὸ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγγυτάτω μελλούσης ἀναίνηται, ἤτοι χρῆσθαι ταύταις ταῖς εὐχαῖς, ἢ διακονῆσαι τὰ Μυστήρια ἔν τινι τῶν Καθεδραίων, ἢ παροικικῶν ναῶν, ἢ ἀλλαχόθεν, ἧπερ ὅπου δέον ἐστὶ ταῦτα τελέσαι, κατὰ τρόπον καὶ τύπον, ὡς καὶ ἐν ταύτῃ τῇ Βίβλῳ παραγέγραπται καὶ διατέτακται, καὶ πρὸς τούτῳ, τῇ αὐθαδείᾳ καὶ ἰσχυρογνωμοσύνῃ σοβαρῶς ἐμμένων, ἐὰν δὲ καὶ ἄλλῳ τινὶ Θεσμῷ, τελετῇ, τάξει, τρόπῳ, καὶ τύπῳ χρήσηται ἐν τῷ διακονῆσαι δεῖπνον τὸ Κυριακὸν, δημοσίᾳ, ἢ ἰδίᾳ, ἐὰν δὴ καὶ ἐθίζηται λέγειν Ἑωθινὰς καὶ Ἑσπερινὰς εὐχὰς, διακονῆσαι Μυστηρίων, καὶ ὁπόσας τὰς δημοσίας εὐχὰς, τὰς ἐν ταύτῃ τῇ Βίβλῳ μὴ προσταχθείσας καὶ ἐκδοθείσας [Δημοσίας τὰς εὐχὰς, ἐν ὅλῳ τούτῳ τῷ ψηφίσματι, δεῖ ἐννοῆσαι τὰς ἐνταῦθα πεποιημένας, ὅπου οἱ πολλοὶ ἐν τοῖς ναοῖς δημοσίοις, ἢ ἰδίοις εὐκτηρίοις, ἢ δυνήθωσιν φοιτᾷν καὶ ἐνωτίσασθαι κοινῇ λεγομένας Λειτουργίᾳ τῆς Ἐκκλησίας] ἐὰν δ' ὅδε τις ἀνακηρύξηται, ἐξηγήσηται, ἢ ἀγορεύσηται τι πρὸς τὴν ἀτιμίαν, ψόγον, καὶ καταφρόνησιν τῆς προειρημένης Βίβλου, ἢ οὑτινοσοῦν ἐν αὐτῇ περιεχομένου πράγματος, ἢ μέρους τινος αὐτῆς, καὶ κατὰ τὰ νόμιμα ταύτης τῆς βασιλείας τῇ ἀναιρέσει ψήφου δυοῖν καὶ δέκα τῶν ἀνδρῶν, ἢ τῇ σφετέρᾳ αὐτοῦ ὁμολογήσει, ἢ ἐναργεῖ τινὶ ἀποδείξει τούτου καταδικασθήσηται παρὰ πρώτην τὴν πλημμέλειαν τῇ Βασιλίσσῃ ἡμῶν, ἤτοι κληρονόμοις, ἢ διαδόχοις αὐτῆς, πάντα τὰ σύμφορα εὐεργεσιῶν καὶ ὀπαδῶν τῶν πνευματικῶν, δι' ἕνα σωόλον τὸν ἐνιαυτὸν, ἤγουν τῷ τούτῳ τῷ ἐλέγχῳ ἐπιγενομένων, ἐσοδιαζόμενα ζημιωθήσεται, καὶ καταγνωσθήσεται. Καὶ πρὸς τούτοις, οὗτος ὁ ὑπαίτιος διὰ τοῦ δὲ τοῦ προσκρούσματος, ἓξ μηνῶν, παρὰ τῆς ἐγγύης καὶ ὀμηρείας, δεσμωτηρίῳ δί-

[illegible] ἀπερχθήσονται. Ἐὰν δέ τις ἅπαξ περὶ τῶν προϊεμένων κακειμένος, μετέπειτα εἰς ταύτην τὴν αἰτίαν παραπεσεῖται, καὶ αὖθις κατὰ τρόπον προειρημένον ταύτης εὑρεθῇ νομίμως κατηγορούμενος· εἶτα ἐκεῖνος παρὰ τοῦ δευτέρου πλημμελήματος ὅλον τὸν ἐνιαυτὸν δεσμωτηρίου δίκην πείσεται, καὶ περαιτέρω αὐτῷ ἔργῳ, πασῶν προσαγωγῶν τῶν πνευματικῶν γενήσεται ἀποστερούμενος, καὶ ἔξεσται πᾶσι τοῖς προστάταις, καὶ δωρεῖται, ἀπάντων, καὶ ἑκάστων ἐκείνων ἀξιωμάτων πνευματικῶν, ἢ ὁποσοῦν αὐτῶν, πρὸς τοῦτο χρηματίσαι καὶ προτετελεκέναι, ὥσπερ ἂν εἰ τοιοῦτο τὸ πρόσωπον, ἢ πρόσωπα ἐξαμαρτόντα, μεταλλαχθῇ. Ἐὰν δέ τις τρόπῳ προειρημένῳ δευτέρως ἐλεγχθεὶς, καὶ κατὰ τὰ προϊέμενα τελεσώσει τηλικοῦτο τὸ προκήρυγμα, καὶ τοῦτο ἐν τρόπῳ, ὡς ἄνω λεγομένῳ, νομίμως αἰτιαθήσεται· εἶτα οὕτως ὁ προσκρουσάμενος, καὶ τρὶς ἐλεγχόμενος, πασῶν προσαγωγῶν τῶν πνευματικῶν στερηθήσεται, καίτοιγε τὴν εἱρκτὴν, μέχρι τῆς τοῦ νῦν βίου τελευτῆς, προσαπείσεται. Ἐὰν δὲ ὁ προσκοψάμενος, καὶ περὶ τῶν προειρημένων, ὡς ἄνω, ἐξελεγχθεὶς, ἐνεργησάντι καὶ προσαγωγῶν τῶν ἐκκλησιαστικῶν γένοιτο παντελῶς ἀπολελειμμένος, εἰ δῆτα οὗτος ἐξαμαρτάνων ἔνοχος γενήσεται καθ' ὅλον τὸν ἐνιαυτὸν, τὸ δηλαδὴ μετὰ ταύτην τὴν δίκην προϊόντα, τὸ τίμημα τοῦ εἰρημένου ἀνδρὸς τῆς ἐξζύγης, ἢ οἰκείας, ἀποτίσει. Ἦν δέ τις ὁ πνευματικῶν ὑπαρχόντων ἀπορούμενος εἰσαῦθις κατὰ νόμους εὑρεθῇ προσπταίσας, καὶ ἐγκληθεὶς, εἶτα διὰ τὸ δεύτερον ἁμαρτηθὲν, εἰς τὸ δεσμωτήριον ἐμβληθήσεται, διηνεκῶς ἐκεῖ προσκαρτερησόμενος.

Προσέτι ὁμοψηφίζεται, καὶ καθίσταται ἐξουσίᾳ τῇ προειρημένῃ εἴτις δῆτα μεθ' Ἑορτὴν γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ τὴν ἔγγιστα μέλλουσαν, ἐν ὁποιῳτινιοῦν τῶν πανδήμων δραμάτων τῶν παντομίμων. ἐν θεάτροις, παιγνίοις, ἐν ᾠδαῖς, ἢ ῥυθμοῖς, ἤτοι ἐν τρόπῳ τινὶ λόγῳ, ἐκδηλώσει καὶ ἀναγγελεῖ τι πρὸς ὄνειδος, λοιδορίαν, ἢ καταφρόνησιν ταύτης τῆς Βίβλου, ἢ ὁποσοῦν ἐν αὐτῇ περιεχομένου πράγματος, ἤτοι μερικοῦ τινος αὐτῆς, εἰ δὴ καί τις ἀνοικτῷ τινι ἐπιτηδεύματί τε, καὶ πράξει, ἢ ἀναρρωγύᾳ ἀπειλῇ ἀναγκάζηται, ἢ βιάζηται, ἤτοι ἄλλοτέ τι συναγορήσει, ἢ ὑπερασπίσει Ἐκκλησιάρχην τινα, ἢ τοποτηρητὴν, ἢ ἕτερόν τινα διάκονον, ἐν Καθεδραίῳ τῷ ναῷ, ἢ παροικικῷ ἐνὶ εὐκτηρίῳ, ἢ ἄλλῳ οὖν τόπῳ ἐπὶ τὸ ᾄδειν ἢ λέγειν δημοσίας τὰς εὐχὰς, ἢ ἐπὶ τῷ ὑπηρετῆσαι πανάγια τὰ Μυστήρια, καθ' ἄλλον τρόπον, ἢ τύπον, ἢ ὡς ἐν προειρημένῃ Βίβλῳ διατηροῦνται. Εἰ δήπου τις καθ' ἀφορμὴν, ὡς ἄνω λεγομένην, διακόψει, ἢ ἐνοχλήσει Ἐκκλησιάρχην τινα, ἢ τοποτηρητὴν, ἤτοι ἄλλον οὖν διάκονον, ἐν ναῷ τῷ Καθεδραίῳ, ἢ παροικικῷ ἐν εὐκτηρίῳ, ἢ ἄλλῳ τινὶ τόπῳ, ὥστε μὴ οἷόν τε εἶναι λέγειν δημοσίας τὰς εὐχὰς, ἢ ἐπιτελέσαι τὰ Μυστήρια, ἢ θάτερον αὐτῶν, κατὰ τρόπον καὶ τύπον, ὡς ἄνω ἐν τῇ

δὲ τῇ Βίβλῳ συνηγμένον, ὅτι πᾶς τοίῳδε τῇ παρανομίᾳ ὑπαίτιος, καὶ νομίμως τῇ δίκῃ, ὡς περὶ ὀλίγου λεγομένῃ, περὶ πρώτης τῆς παραβάσεως ζημίαν ἑκατὸν τῶν Μαρκῶν δεσποίνῃ ἡμῶν τῇ Βασιλίσσῃ, ἢ κληρονόμοις, ἢ διαδόχοις ὀφείλει ἐκτιννύειν. Ἐὰν δέ τις ἅπαξ τοιαύτης τῆς πλημμελείας ἔνοχος ἐγκεκλημένος ᾖ, καὶ πάλιν τὰ περὶ μικροῦ λεχθέντα φωραθῇ διαπραξάμενος, καὶ κατὰ τὸ πάτριον ὡς ἄνω προειρημένον τυγχάνῃ κατηγορούμενος, εἶτα οὕτωσὶ ὁ παραβὰς καὶ κατακριθεὶς, διὰ τὸ δεύτερον πλημμέλημα, δεσποίνῃ ἡμῶν Βασιλίσσῃ, κληρονόμοις αὐτῆς, ἢ διαδόχοις, τετρακοσίας τὰς Μαρκὰς ἐκτίσει. Ἐπειδάν τις τρεῖς τινος τῶν ἁμαρτηθέντων προειλεγμένων δὶς ἠτιαθεὶς, καὶ ἐν ταύτῃ τῇ αἰτίᾳ ἐσαῦθις τρίτος ἐν τοῖς προρρηθεῖσι ἐνοχηθήσεται, καὶ κατ' ἔθος, τοσαύκις διαμνημονευθὲν, νομίμως ἐπικυρωθήσεται, τότε πᾶς οὕτωσὶ παρεκβαίνων, περὶ τοῦ τρίτου παραπτώματος, δεσποίνῃ ἡμῶν βασιλίσσῃ ἅπαντα τὰ ὑπάρχοντα ζημιωθήσεται, καὶ μέχρι θανάτου τὸ δεσμωτήριον καταδύσει. Ἐὰν δὲ ἐνδέχηται ὅτι ὁ διὰ τὸ πρῶτον ἁμαρτηθὲν, ἐν τοῖς προειρημένοις κατάκειτος ὤν, οὐδαμῶς ἀξιόχρεως ἔσται ἀποδοῦναι ζημίαν, τὴν δυνάμει τούτου τοῦ κρίματος ἔσω ἓξ ἑβδομάδων μετὰ ταύτην τὴν κατάγνωσιν, ὀφειλομένην· εἶτα πᾶς οὕτως ἐξελεγχθεὶς, καὶ μὴ καταβάλλων, ἓξ μῆνας, χωρὶς ἐνεχύρου, ἢ παρακαταθήκης, τὴν εἱρκτὴν ὑπομενεῖ· εἰ δέ τις διὰ δευτέραν τὴν παρανομίαν, ὢν τοῖς ὡς ἄνω λεγομένοις, καὶ τρόπῳ προειρημένῳ ἠτιαθεὶς, οὐχ οἷός τε ἔσται ἐκτίειν τὴν ζημίαν ἔδει, ἰσχύϊ τῆς δίκης, καὶ τούτου τοῦ συμβουλεύματος, δήπου ἔσω ἓξ μηνῶν παραχρῆμα ἐπὶ τὸ δευτέρως κατακριθῆναι· εἶτα πᾶς οὕτως ὁ ἐγκληθεὶς, καὶ μὴ τὸ ἱκανὸν ποιήσας, διὰ παρανόμημα τὸ διπλάσιον, ἐν τάξει τοῦ τιμήματος δυωκαίδεκα τὰς μῆνας, ἀνὰ ἐγγυητῶν καὶ ὁμήρων, τὸν εἱργμὸν πεπονθὼς οὐ παύσεται.

Ἔτι δὲ ἐγνωσμένον εἴη, ὅτι ἀφ' Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ τῆς ἔγγιστα παραγενησομένης, ἁπαξάπαντες οἱ τῇ βασιλείᾳ τῆς Ἀγγλίας, ἢ ἀλλαχοῦ που ἔσω τῆς ἐπικρατείας Μεγαλειότητος τῆς Βασιλικῆς ἐνοικοῦντες, εἰς τὴν σφετέραν αὐτῶν Ἐκκλησίαν τὴν παροικικὴν, ἢ δήπου τὸν ναὸν ἴδιον αὐτῶν εἰθισμένον (εἰ μὴ τῆς ἀπουσίας εὔλογον καὶ νόμιμον αἰτίαν ἕξουσιν ἀποδοῦναι) λίαν ἀκριβῶς καὶ πιστῶς σπουδάσουσι φοιτῶντες· ὁπόταν δὲ ἠμποδίσωσιν, προσομιλήσουσιν ὅπου δήποτε γοῦν αἱ δημόσιαι εὐχαὶ κατ' ἔθος ποιηθήσονται, κάτοιγε καθ' ἑκάστην Κυριακὴν τὴν ἡμέραν, καὶ τὰς ἄλλας, τὰς ἐπὶ τὸ ἑορτάζειν διατεταγμένας, ἢ πεφυλαγμένας· καὶ τότε ἐκεῖθεν προσηκόντως, καὶ αἰδεσίμως προσμενοῦσιν, ἕως ἂν δημόσιαι αἱ εὐχαὶ, ἅγιαι αἱ ὁμιλίαι, καὶ τὰ ἕτερα θεοθρησκείας καθήκοντα τελεσθήσονται καὶ διακονηθήσονται, ὑπὸ τοῦ δεῖσθαι προστίμους τιμωρίαις ταῖς Ἐκκλησιαστικαῖς. Καὶ προσέτι, ὅτι πᾶς οὕτως ἐξαμαρτὼν δεῖ ζημιω-

θῆναι

θῆναι δυνηθήσεται δικαίως κατὰ μίαν ἑκάστην τὴν παρανομίαν, καὶ οἱ ναοφύλακες (ὅσοι μὴ ἡμάρτηνται) τὰ ἐπιτίμια εἰς χρῆσιν τῶν πτωχῶν, ἐξ ὑπαρχόντων, ἀγρῶν, καὶ κτημάτων τοῦ παραβάντος ἀνὰ μέρος συστολῆς ἀπαιτήσουσι. Ὅπως οὖν ταῦτα λίαν ὁσίως καὶ βεβαίως παρατηρηθῆναι δύναιντ' ἄν, ἡ ὑπερέχουσα Μεγαλειότης βασιλική, ἡ συμπάσης τῆς βασιλείας εὐγένεια, καὶ ὁ πανδήμος δῆμος ἐν τῷ παρόντι συνεδρίῳ Παρλιαμέντου συνειλεγμένος, ἐνώπιον τοῦ Θεοῦ συντόνως ἀντιβολοῦνται καὶ παραγγέλλουσι πᾶσι τοῖς Ἀρχιεπισκόποις τε, καὶ Ἐπισκόποις, καὶ ὁπόσοις οὖν ἐπιτακτῆρσιν, ὥστε εἰς ἄκρον τῆς ἰσχύος ἐπιτηδεύειν, καὶ συναγωνίζεσθαι, ἵνα ταῦτα δυνηθείη ὀφειλομένως, καὶ ὄντως, κατὰ τὰς αὐτῶν διοικήσεις καὶ ἐπιμελείας, διαπραγματεύσαι, ὥσπερ ἂν εἰ προσδοκῶεν ἀποδοῦναι λόγον ἔμπροσθεν τοῦ Θεοῦ, περὶ τῶν συμφορῶν καὶ κακοπραγιῶν, μεθ' ὧν Θεὸς ὁ Παντοκράτωρ τὸν λαὸν αὐτοῦ, διὰ τὸ τὸν πάλαι χρηστὸν καὶ ὑγιαίνοντα νόμον ὀλιγώρως ἔχειν, καὶ περὶ ἐλαχίστου πεποιηκέναι, εἰκότως δυνηθείη ἂν κολάζειν καὶ μαστιγῶσαι. Ὅσον δὲ κατὰ τὸ αὐτῶν ἐν ταύτῃ τῇ αἰτίᾳ ἀξίωμα, περαιτέρω τῇ προειρημένῃ ἐξουσίᾳ ἐγνωσμένον ἔστω, ἵνα πᾶς, καὶ ἕκαστος τῶν Ἀρχιεπισκόπων τε, καὶ Ἐπισκόπων, καὶ τῶν ἐπ' αὐτοῖς δικαστικὸν ἔργον ἐν τῇ Ἐκκλησίᾳ ὑπηρετησάντων, ἐν πᾶσι τόποις, τοῖς ἐξαιρέτοις τε, καὶ μὴ ἐξαιρέτοις, ἐντὸς αὐτῶν διοικήσεων, ἰσχύι τούτου τοῦ ψηφίσματος, ἕξουσι τελείαν τὴν ἐξουσίαν τε, καὶ δύναμιν, παρὰ τοῦ ἐπανορθῶσαι, τιμωρῆσαι, καὶ κολάσαι, δίκῃ δηλαδὴ τῇ Ἐκκλησιαστικῇ, πάντας ἐν σφετέραις αὐτῶν διοικήσεσι, καὶ δικαιοδοσίαις, εἰς τοῦτο τὸ συμβέλημα παρανομοῦντας, ἀπὸ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγγυτάτου μελλούσης, οὐδενὸς οὖν κωλύοντος τῶν νόμων τι, καὶ καθεστώτων, προνομιῶν, ἐλευθεριῶν, καὶ προμνηθειῶν, τῶν περὶ τοῦ νῦν ἐκδοθεισῶν, ποιηθεισῶν, ἢ ὁπηγοῦν προσενεχθεισῶν.

Ἔτι δὲ ὁμοψηφίζεται καὶ καθίσταται τῇ ὡς ἄνω ἐξουσίᾳ, ὅτι πάντες καὶ ἕκαστοι κρίται, ἢ δικασταί, οἱ (ὡς κοινῇ φέρεται) περὶ Ὄιερ καὶ Δητερμινηρ, καὶ περὶ Ἀσσίζε, ἐν δημοσίοις καὶ πανηγυρικοῖς συνεδρίοις τελείαν ἕξουσι τὴν ἐξουσίαν καὶ δύναμιν, τοῦ ἐξετάσαι, εἰσακοῦσαί τε, καὶ γνῶναι ἅπαντα, καθ' ὁπηγοῦν τὸ τούτου τοῦ ψηφίσματος μνιέλδιον (ἐντὸς ὅρων ἀποστολῆς, ἧς ἐπιτετραμμένοι τυγχάνουσι) τὰ διαπραχθέντα τε καὶ παρανομηθέντα, καὶ τοῦ ποιῆσαι τὰς δίκας, ἢ προσκοπάς, πρὸς τὸ ἀναπράζεσθαι τὰ ἐγνωσμένα, καθά περ δύναιντο ἂν καθ' ὅντινα οὖν ἔμπροσθεν αὐτῶν ἐπί τινος ἄλλης παραβάσεως ἐγκεκλημένον, καὶ ἠτιμημένον.

Προνενοημένον ἀεί, καὶ ἐγνωσμένον ἔστω ἐξουσίᾳ ὡς ἄνω, ὅτι πᾶς ὁ Ἀρχιεπίσκοπος, καὶ Ἐπίσκοπος δύναιτο, κατὰ τὸ δοκοῦν, ἀπὸ καιροῦ εἰς καιρόν, προσαφθῆναι καὶ παρακαθεσθῆναι τῷ κριτῇ τῷ κοινῇ λεγομένῳ περὶ Ὄιερ καὶ Δητερμινηρ, ἢ τοῖς δικασταῖς περὶ Ἀσσίζε, ἐν δημοσίοις καὶ πανηγυρικοῖς συνεδρίοις, ἐν ᾧ τινι οὖν τόπῳ ἔσω τῆς αὐτῶν διοικήσεως

τετηρημένοις,

ἐπιτηρημένοις, ὥστε περὶ παρανομιῶν ὡς ἄνω προειλεγμένων ἐξετάζειν, ἀκροᾶσθαί τε, καὶ γινώσκειν.

Ἔτι δὲ, προγενονημένον ἔστω, καὶ ἐγνωσμένον ἐξουσίᾳ τῇ προειρημένῃ, ὅτι αἱ θείας τῆς Θεραπείας βίβλοι, ἐκδοθεῖσαι δαπάνῃ παροίκων πάσης καθ' ἑκάστην τῆς παροικίας, καὶ παντὸς Καθεδραίου τοῦ ναοῦ, περὶ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγγυτάτω μελλούσης, προσπορισθήσονται καὶ ἐπιζητηθήσονται· καὶ δὴ καὶ πᾶσαι παροικικαί τε, καὶ Καθεδραῖαι Ἐκκλησίαι, καὶ ἀλλαχοῦ, ὅπου προειρημέναι βίβλοι παρασκευασθήσονται, περὶ τῆς Ἑορτῆς γενεθλίων Ἰωάννου τοῦ Βαπτιστοῦ, εἶτα μεταξὺ τριῶν ἑβδομάδων τῶν μετὰ πορισμὸν ταύτων τῶν βίβλων ἐκείνην τὴν Θεραπείαν καὶ Λειτουργίαν ἐπιτελέσουσι, καὶ τῷ τύπῳ ἐν τούτῳ τῷ ψηφίσματι προστεταγμένῳ χρήσονται.

Προσωτέρω δὲ ἐγνωσμένον εἴη ἐξουσίᾳ τῇ προειρημένῃ, ὅτι οὐδεὶς μετὰ ταῦτα ἐγκληθήσεται, καὶ βασανισθήσεται, περὶ οὐδενὸς οὖν ἀνομήματος, τοῦ πρὸ ὀλίγου διαμνημονευομένου, τοῦ ἐφ' ἑξῆς πεποιησομένου, εἰ μὴ ὁ ἡμαρτηκὼς ἐν συνεδρείοις γενικοῖς τοῖς ἐγγυτάτοις ἀμελλητὶ μετὰ τὸ πεπραχέναι τηλικαύτην τὴν παρανομίαν ἀπέναντι τοῦ κριτοῦ περὶ Ὄϊερ καὶ Δητερμινὴρ, ἢ δικαστοῦ περὶ τοῦ Ἀσῖζε, γένοιτο κατηγορούμενος, κατὰ ψῆφον καὶ γνώμης τούτου τοῦ συμβουλεύματος.

Πεφυλαγμένον ἀεὶ, διατεταγμένον τε, καὶ ἐγνωσμένον ἔστω τῇ προειρημένῃ ἐξουσίᾳ, ὅτι οἱ δυναστεύοντες ἐν Παρλιαμέντῳ ἐπὶ τεῖγον ἁμάρτημα, ὡς ἄνω, ἐνδηλωθὲν, παρὰ τῶν ἐξ ἴσου ἔχουσι δικασθῆναι.

Προγενονημένον ἔτι, ἐγνωσμένον τε, καὶ ἐψηφισμένον εἴη ἐξουσίᾳ τῇ προειρημένῃ, ὅτι ὁ Μείζων Λονδιναῖος, ἄλλοι τε καὶ Μείζους, Δήμαρχοι, Ἔφοροί τε, καὶ ἄλλοι ἐν ἀξιώματι ὄντες, οἱ πολιτειῶν προστασίαν ἐν ταύτῃ τῇ βασιλείᾳ, καὶ Οὐαλλίᾳ, καὶ Μαρχίαις παρειληφότες, ὅπου μὴ οὐκ ἔθος ἐστὶ τοὺς δικαστὰς τοῦ Ἀσῖζε προσελθεῖν, τελείαν τὴν δύναμιν, καὶ ἐξουσίαν, διὰ τούτου τοῦ συμβουλεύματος ὑποδέξονται, τοῦ ἐξετάζειν, ἀκροᾶσθαί τε, καὶ γινώσκειν πάντα, καὶ ἕκαστα, τὰ πλημμελήματα προειλεγμένα δὶς καθ' ἔτος, ἤγουν μεταξὺ πεντεκαίδεκα ἡμερῶν ἀφ' Ἑορτῆς τοῦ Πάσχα, καὶ ἁγίου τοῦ Μιχαὴλ τοῦ Ἀρχαγγέλου, ὃν τρόπον καὶ τύπον, ὡς ἂν εἰώθασιν οἱ δικασταὶ τοῦ Ἀσῖζε, ἢ τοῦ Ὄϊερ καὶ Δητερμινήρ.

Προγενονημένον ἔτι, ἐγνωσμένον τε, καὶ ἐψηφισμένον ἔστω ἐξουσίᾳ τῇ προειρημένῃ, ὅτι πάντες, καὶ ἕκαστοι Ἀρχιεπίσκοποι τε, καὶ Ἐπίσκοποι, ἅμα δὴ καὶ οἱ Λογοθέται αὐτῶν, καὶ οἱ ἐπιτετραμμένοι, οἱ δὴ καὶ Ἀρχιδιάκονοι, καὶ ἐπιτάκτορες δικαιοδοσίαν τὴν ἰδιάζουσαν μεταχειρίζοντες, τελείαν τὴν δύναμιν καὶ ἐξουσίαν ἔχουσι τῇ ἰσχύϊ τούτου τοῦ συμβουλεύματος, καὶ μὴ ἐν ταῖς ἐπισκοπαῖς, ἢ συνόδοις, καὶ δὴ καὶ ἄλλῃ πῃ ἔσω σφετέρων αὐτῶν διοικήσεων, ὁπόσῳ οὖν καιρῷ καὶ τόπῳ μάλιστα τοῦ ἀκριβῶσαι, καὶ τὰς γραφάς τε καὶ κατηγορίας πασῶν τῶν παρανομιῶν, ἔσω δικαιολογιῶν καὶ κατεξουσιοτήτων αὐτῶν, ὁσάκις διαπεπραγμένων, ἐξηργασμένων τε,

καὶ ἡμαρτημένων ἀποδέξασθαι, τότε δὴ καὶ κολάζειν αὐτοὺς, εἴτε νουθετήσει, ἢ ἐξετάσει, ἤτοι ἀναχωρήσει ἢ ἀποστερήσει, ἢ ἄλλῃ δήποθεν τιμητείᾳ καὶ ἐπιγραφῇ, κατὰ τὴν ὑποθήκην, ἐν τηλικαύταις ταῖς αἰτίαις, διὰ νόμιμα τὰ τῆς Βασιλίσσης Ἐκκλησιαστικῆς συνειδησμένην. Ἐὰν δέ τις ἐν προειρημένοις ἁμαρτιῶν, παρὰ τὸ ἔγκλημα ὑπὸ τοῦ ἐπιτακτῆρος εἰσπραχθῇ τὴν δίκην, πρὸς τούτῳ παρειληφὼς ἐπιμάρτυρα τὰ γράμματα, τοῦ ἐπιτακτῆρος σφραγῖδι ἐσφραγισμένα, εἶτα αὖ ἐνώπιον τὴν κειτὴν τοιαύτης τῆς παρανομίας ὑπεύθυνος οὐδαμῶς οὐ γενήσεται ὁμοίως ἐστὶ, καὶ ὁ παρὰ τὴν πρώτην ἁμαρτίαν ὑπὸ τῶν δικαστῶν κολασθεὶς, ἢ ζημιωθεὶς, διὰ τοῦτο τὸ αἴτιον ὑπὸ τοῦ ἐπιτακτῆρος οὐ θέμις ἐστὶ τιμωρῆσαι, οὐδὲ ἐνδυνοσοῦν, ἐν τούτῳ τῷ ψηφίσματι περιεχομένου, διακωλύοντος.

Προνενοημένον ἀεὶ, καὶ ἐγνωσμένον εἴη, ὅτι τοιαῦτα τοῦ ναοῦ καὶ Διακόνων ἱμάτια, καὶ κοσμήματα, ἀπὸ ἐνιαυτοῦ δευτέρου βασιλέως ἡμῶν Ἐδοάρδου τοῦ ἕκτου, καὶ ἐξουσίαν Παρλιαμέντου, Ἐκκλησίᾳ τῇ Ἀγγλικανῇ ἐν ἔθει γέγονε, ἄχρι τηρηθήσεται, καὶ ἐν τῇ χρείᾳ χρηθήσεται, ἕως ἂν ἄλλη ποτὲ διάταξις ἐξουσίᾳ Μεγαλειότητος τῆς βασιλικῆς, μετὰ τῶν ἤτοι τῶν ἐν αἰτίαις Ἐκκλησιαστικαῖς προξενητῶν μεγάλῃ τῆς Ἀγγλίας σφραγῖδι κατασταθέντων, καὶ ἀξιωθέντων, ἢ τοῦ ταύτης τῆς βασιλείας Μητροπολίτου βουλῇ διαταχθείη ἄν.

Προσέτι, ἐάν τις περὶ ὀλιγωρίαν, ἢ δυσσέβειαν, περὶ τὴν τελετὴν καὶ θεσμῶν Ἐκκλησιαστικῶν, διὰ τοῖς ἐντάλμασι τοῖς ἐν ταύτῃ τῇ Βίβλῳ συνεστηκόσι παραχρῆσθαι συμβαίνῃ· Μεγαλειότης ἡ βασιλική, ξὺν τῇ βουλῇ τῶν προξενητῶν, ἢ δὲ τοῦ Μητροπολίτου δύναιτο ἄν, διασαφεῖ ὧν τελετάς τε καὶ θεσμοὺς ἔδοξε, πρὸς τὴν τῆς θείας λέξεως ὑπεροχὴν, πρός τε τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν, καὶ τὴν παναγίων τῶν Μυστηρίων τιμὴν προσήκοντας, περαιτέρω κυρῶσαι καὶ δημοσιεύειν.

Τελευταῖον ἐστὶ, ἐξουσίᾳ τῇ ὡς ἄνω, ἐγνωσμένον ἔστω, ὅτι πάντα τὰ νόμιμα ὁμοψηφίσματα, καὶ συμβουλεύματα, παρ' ὧν ἀλλοτρεία, ἢ ἑτέρα Λειτουργία, ἢ ἄλλη τις οὖν Μυστηρίων τε, καὶ δημοσίων τῶν εὐχῶν διακόνησις προσγέγραπται καὶ βεβαιοῦται, ἢ δῆτα πρὸς τὸ χρῆσθαι ἐκδέδοται, ἢ ἐν ταύτῃ τῇ βασιλείᾳ, ἢ λοιπαῖς Βασιλίσσης ἐπικρατείαις, καὶ χωρίοις, ἀπὸ τοῦ δὲ ἄκυρα ἔσται, μάταια, καὶ οὐδεμιᾶς τῆς ἰσχύος.

¶ ΠΑΡΑ

¶ ΠΑΡΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

¶ Τὸ Κήρυγμα ἐπὶ τῇ δημοσίων εὐχῶν Βίβλῳ μονοειδῆ λόγον ἀνὰ πᾶσαν τὴν βασιλείαν ἐξουσιάζεσθαι.

ΚΑὶ γὰρ ἐκ τῶν διηγήσεων, περὶ τῶν δὲ δημοσιευθεισῶν, ἅπερ αὖ ἡμεῖς ἐν τοῖς περὶ τῆς θεοσεβείας, ἐξ ὅτε εἰς τοῦτο τὸ διάδημα ἐφεστηκέναι προειλόμεθα, καὶ ἐσπουδάσαμεν, τοῖς ἀρχομένοις ἡμῶν οὐχ' οἷόν τε ἐστὶ λαθεῖν· ὅμως δὴ δὲ τῶν πραγμάτων εἰς ἥσυχόν τινα τὴν κατάστασιν εἰσενεχθέντων, ἀφορμὴν ὧδε παρειλήφαμεν τὰ δεῖνα τῶν ἤδη πεπραγμένων λόγῳ διεξελθεῖν· μνημονεύσαντες ὃν τρόπον ἡμεῖς, εἰς ταύτην τὴν βασιλείαν προσφάτως ἐληλυθότες, μεμψιμοιρείᾳ τινὶ τῶν ὑπηρετῶν οὐκ ὀλίγων ἡμᾶς ποτε διασκυλλόντων, καὶ τὴν ἐνταῦθα Ἐκκλησίαν ἀλιτημάτων καὶ κηλίδων, οὐχ' ὅπως ἐν τῇ παιδείᾳ, ἀλλὰ καὶ ἐν τῇ διδασκαλίᾳ ἐγκαλεσάντων, ἐξενίσθημεν τι καταρχὰς καὶ ἠνωχλήθημεν. Ἐπειδὴ δὲ αἰτίαν οὐκ ἐσχήκαμεν εἰκάσαι τὰ ἐκεῖσε παρὰ τοσοῦτον ἐμπλήκτως ἔχειν, ὅσον γὰρ ἐπροφασίσθη, ὅτι ταύτην τὴν βασιλείαν, τοιαύτῃ τῇ τῆς θεοσεβείας ὑποθήκῃ κατὰ νόμους κεκυρωμένῃ, ἐν ἡμέραις τῆς νεωστὶ Βασιλίσσης, τῆς εὐφήμου μνήμης, μετὰ τῆς εἰρήνης τε, καὶ εὐδαιμονίας διενηνοχυίας τε, ἅμα καὶ πολλὴν ἤδη χρόνον διαμεμενηκυίας, (ὅτι ἀσφαλὲς ἐστὶ τεκμήριον ταῦτα εὐαρεσκόντως ἔχειν τῷ Θεῷ) συμπεπλῆσθαι ἐνεφ-καμεν· ἀλλ' ὅμως, ὅτι μὲν οὖν ἀσελγὴς ἐτύγχανεν οὖσα τῶν διωκόντων ἡ προσλιπαρεία, καὶ τὰ αὐτῶν ἐγκλήματα σφοδρῶς δεινά, καὶ ὁ ζῆλος, ὡς γὰρ ἔοικε ταῦτα κεκαλλωπισμένα, καθ' ὑπερβολὴν εὐπρεπῶς· πεπείσμεθα ἐντεῦθεν ἁρμόττοντα λαβεῖν καιρὸν τοῦ ἐπιτελέσαι τὸ ἔργον τῶν βασιλικῶν βασιλικώτατον, ἤγουν τὸ σέβασμα καὶ θεραπείαν τοῦ Θεοῦ πρὶν ἑαυτῶν τὸ καταστῆναι. Ὅ γὰρ ἐν ᾧ μεταξὺ κατειργασμένοι γεγόναμεν, ὅσον ἐξὸν ἡμῖν, παρὰ τὴν τοῦ λοιμοῦ συνάφειαν, τὴν τῆς πόλεως ἡμῶν Λονδίνου καὶ ἀλλαχοῦ κατασκήψασαν, συναγεῖραι τοὺς ἄνδρας αἱρετούς τε, καὶ εἰς τοῦτο τὸ πρᾶγμα ἐπιτηδείους· ἔνιοι μὲν τῶν τῇ Ἐκκλησιαστικῇ πολιτείᾳ νυνὶ κατασταθείσῃ χαλεπηνάντων, τῶν ἡμετέρας τῆς διανοίας, πλεῖον αὖ ἡμεῖς ποτε τὴν αἰτίαν ταραχώμεθα, προκατειληφότων, καὶ οἱ τῆς σφετέρας αὐτῶν αὐθαδείας ἐφορμηθέντων, σκευωρήματα, ἅπερ ἠδυνήθη σκάνδαλον ἐν τῇ Ἐκκλησίᾳ ἀναπυρῶσαι μᾶλλον ἢ κατασβέσαι, ἐνεχείρησαν· καὶ γὰρ τύποις δημοσίας τῆς Λειτουργίας ἐχρῶντο τοῖς πάνυ ἀδοκιμάστοις, τοὺς ὁμίλους ἄνευ τῆς ἐξουσίας συνήθροισαν, καὶ τἄλλα, ἅπερ ἔοικε τὴν διχοστασίαν μᾶλλον, ἢ ζῆλον τεκμαίρεσθαι, φανεροὶ ἦσαν διαπράξαντες· οὓς ἡμεῖς, προτέρῳ τῷ Κηρύγματι παρὰ μῆνα τοῦ Ὀκτοβρίου

τοῦ λοιποῦ περιαλληλυθότος, ἀνεστείλαμεν· ὅταν δὴ καὶ πρόγραμμα συνουσίας μελλούσης, ἧς ἡμῖν προὔκειτο (ὡς ἂν τάχιστα δύναιτο προσηκόντως) ἐπισυναγαγεῖν, πρὸς τὸ τὰ τῆς Ἐκκλησίας ἡσυχάζειν τε καὶ καταρτίζειν, ἐξεδώκαμεν· ἥτις ἀκολούθως ἐξέβη ἐπὶ τῷ μηνὶ τοῦ Ἰανουαρίου ἐν τοῖς ἡμῶν ἀνακτόροις [κοινῇ Ἅμπτον Κούρτε] ὅπου μὲν ἔμπροσθεν ἡμῶν, καὶ τῆς ἀπὸ τῶν ἀπορρήτων ἡμῶν βουλῆς, πολλοὶ αἰδεσιμωτάτων τῶν Ἐπισκόπων τε, καὶ ταύτης τῆς βασιλείας προεστώτων, ἅμα δὴ καὶ τῶν ἄλλων δήπου ἀνδρῶν πεπαιδευμένων, τῶν τῇ παρούσῃ τῆς Ἐκκλησίας καταστάσει νυνὶ βεβαιουμένῃ συμμόρφων ὄντων, καὶ τῶν ἀντικειμένων τε καὶ ἑτεροδόξων, ἐπισυνήχθησαν· ὧν ἀναμέσον, τίς ἦν ἡμῶν ὁ κόπος, τίς ἐν τῷ ἀκροᾶσθαί τε καὶ ἀποκρίνεσθαι ὑπομονή, τίς τῆς ἡμετέρας συνέσεως ἐν τῷ διαγνῶναι ἰσορροπία τε καὶ εἰλικρινεία, (ἀκριβότητι μόνον τῆς ἡμῶν καρδίας ἐξαρκούμενοι) τῷ θρύλλῳ τῶν ἐντυχόντων ἡδέως ἀναφέρομεν. Ἀλλὰ μὲν οὖν οὐκ ἂν δυναίμεθα τῷ λόγῳ παραλείπειν, ὅτι τὰ ταύτῃ συνομιλίᾳ συμβεβηκότα, παραπλησίως ἔχει τοῖς ἄλλοις ἐπιτηδεύμασι, τοῖς μεγάλης προτεθείσης τῆς ἐλπίδος πρὶν ἐπιχειρῆσαι, καταδεέστερα δὲ τὰ προκεχωρηκότα παρέχουσι. Καὶ γὰρ εὑρήκαμεν τάς τε πάνυ καὶ πικρὰς εἰσαγγελίας οὕτωσὶ ἀρρώστοις τοῖς ἐνδείγμασι ἐπιστηριγμένας, ὥστε δοκεῖν ἡμῖν, καὶ τῇ ἡμῶν βουλῇ, οὐδ' ὁτιοῦν τῶν ὡς ἐρρωμενέστατα πολιορκηθέντων ἤγουν Βίβλον δημοσίων εὐχῶν τὴν τοῦ κοινὸν θεοθρησκείας τύπον περιέχεται, οὐδὲ ἐν

τῇ διδαχῇ, ἥτις ἁγνὴ καὶ ἀκίβδηλος οὖσα ἀνεφαίνετο, οὔτε ἐν ὑποθήκαις καὶ τελεταῖς, αἳ κατὰ πρᾶξιν τῆς ἐξαρχῆς Ἐκκλησίας ἀκριβῶς ἐτύγχανον πρὸς εὐσέβειαν ἐξειργασμέναι καὶ δεδοκιμασμέναι, ἄξιον εἶναι ἀναιρεθῆναι. Μέντοιγε ἐγνώκαμεν, σὺν τῇ τῶν Ἐπισκόπων τε, καὶ ἑτέρων ἀνδρῶν ἐλλογίμων εὐθὺς παρόντων προσομολογίᾳ, ὥστε ὀλίγιστά τινα ἑρμηνευθῆναι μᾶλλον ἢ μεταλλαγῆναι, οὐχ ὡς παρανεὶ ταῦτα ἔοικεν οὐ μὴ ἀνέκτως διακεῖσθαι τοῖς τὰ παρόντα ἐπὶ τὸ εὐσεβέστερον ὑπειληφόσιν, ἀλλ' ἵνα οἷς προστήσαμεν τῷ Θεῷ ἡμῶν, οὐδεμίαν τῆς ἐπιμελείας τι καὶ ζηλοτυπίας ὑπερβολὴν ὑπολείπωμεν, ὅπως ἡ δημοσία τῆς θεοσεβείας ὑποθήκη γένοιτ' ἂν οὐ μόνον ἀνεπίληπτος, ἀλλὰ καὶ τὸ παράπαν ἀνύποπτος· ἐφ' ᾧ, οὐδὲ οἱ ἐξ ἐναντίας ἀφορμῆς ἀπολάβοιεν ἂν ἐπὶ τῷ διασύρειν τι τῶν ὧδε πειραζομένων περὶ γνώμην Ἐκκλησίας τῆς Ἀγγλικανῆς, οὐδέ τις ἐντὸς Ἐκκλησίας ἡμῶν εἴτε σκαιὸς, εἴτε ἀπαίδευτος, οὐδὲ τοὐλάχιστον ἔχοι πρόσχημα ἐπὶ τῷ συκοφαντῆσαί τι, καὶ λοιδορῆσαι. Ἅπερ ἡμεῖς φροντίζοντες, τὸ ἔνταλμα ἡμῶν, ὑπὸ μεγάλης σφραγῖδος τῆς Ἀγγλίας, τῷ Ἀρχιεπισκόπῳ Καντουαρίου (ὡς ἔθος ἐστὶ κατὰ νόμιμα ταύτης τῆς βασιλείας ἐν τοιαύταις ταῖς αἰτίαις) ἐξεδώκαμεν, τὸ παραῖνον τηλικαύτας τὰς ἐξηγήσεις ποιηθῆναι, καὶ πᾶσαν τὴν Βίβλον δημοσίων εὐχῶν, ξὺν ταύταις ταῖς ἐξηγήσεσι, νεαρῶς ἐκτυπωθῆναι. Ὧν ἄρα τετελεσμένων, καὶ ἄρτι κεκυρωμένων ἐπὶ τοσαύτην περιεσκεμμένην τὴν προαίρεσιν, ἐπειδὴ

ἐπειδὴ ἀναμφισβητήτως ἐπιστάμεθα, ὅτι πάντες οἱ ἐφ' ἡμῖν ὡς ὑπηρέται, καὶ ἄλλοι, μέλλουσι προσήκουσαν ἀπονεμεῖν αὐτῇ τὴν τιμὴν καὶ προθύμως ὑποδέξασθαι αὐτὴν, ὡς πρέπον ἐστί, συμμόρφους αὐτῇ παρέχοντες. Ἀλλ' οὖν γε ἀναγκαῖον ἡγησάμεθα, τὸν αὐτῆς ἐξουσιασμὸν τῷ κηρύγματι δημοσιεύειν, ἐπιτείλαντες ἅμα, καὶ προστάξαντες ἅπασι τοῖς ἀνθρώποις, ὅσοι γὰρ ἤτοι ἐν κλήρῳ, ἢ ἐν δήμῳ τυγχάνουσιν ὄντες, τὸ προσχωρῆσαι καὶ ῥυθμίζεσθαι αὐτῇ ὡς μοναδικῇ δημοσίᾳ τῆς θείας Λειτουργίας ὑποτυπώσει, ἀνὰ ταύτην τὴν βασιλείαν κεκυρωμένῃ καὶ νομοθετουμένῃ· καὶ τοσούτῳ μᾶλλον, ὅτι πάντες οὗτοι ἄνδρες εὐδόκιμοι, καὶ πεπαιδευμένοι, ἐκεῖσε τότε παρόντες, Ἐπίσκοποί τε, καὶ ἄλλοι, συμμορφοῦσθαι αὐτῆς τῇ πράξει καὶ ἀσκήσει, ὁμοθυμαδὸν ἐπηγγείλαντο, ἱκετεύοντες μόνον τὸ παρὰ μικρὸν ἐνίους ἔτι περιβωρακέναι. Διόπερ ἡμεῖς πᾶσι τοῖς Ἀρχιεπισκόποις τε, καὶ Ἐπισκόποις, καὶ τοῖς ἄλλοις ὑπηρέταις ἡμῶν Ἐκκλησιαστικοῖς τε καὶ πολιτικοῖς ἐν τῷ τέλει οὖσιν, προσαγορεύομεν ποιῆσαι τὸ καθῆκον, ὡς ἂν εἰ ἐν τῷ τὰς ζημίας, καθάπερ οἱ νόμοι περὶ τοῦ ἐξουσιάζειν ταύτην τὴν Βίβλον δημοσίαν ἐνέχων τὰς τιμωρίας προστεθείκασι, κατὰ τῶν ἠδικηκότων θεῖσθαι· ὡσαύτως δὴ καὶ ἐν τῷ σπουδάζειν, ἵνα ταῦτα πάσῃ τῇ προθυμίᾳ, καὶ ὑπακοῇ [καθ' ὅσον οἷόν τε ἔσται] ἐκβεβαιωθῇ. Προσέτι, ἤρεσεν ἡμῖν ἵνα προειρημένοι οἱ Ἀρχιεπίσκοποί τε, καὶ Ἐπίσκοποι, κατὰ μέρος, ἐν ταῖς αὐτῶν ἐπαρχίαις καὶ διοικήσεσι, πάσῃ καθ' ἕκαστον παροικίᾳ, ἔσω χρόνου, ὡς αὐτοῖς ἔοικε, διωρισμένου, καλῶσι τὸ τὴν δὲ τὴν Βίβλον οὕτως ἑρμηνευθεῖσαν ποιεῖσθαι. Τελευταῖον δὲ, πᾶσιν ἀπαγορεύομεν, μηκέτι προσδοκᾶν, ἢ πειρᾶν οὐθετινοῦν μεταβολὴν ἐν τῇ κοινῇ καὶ δημοσίᾳ τῆς θείας Λειτουργίας ὑποθήκῃ, τῆς νῦν βεβαιουμένης διαφέρουσαν, εἰς τύπον ἐκδοθήσεσθαι. Οὐδενὶ γὰρ ἐπιχωρήσομεν ἐπὶ τοσούτῳ τολμᾶν, ὥστε τὴν ἡμετέραν κρίσιν ἐν πράγματι, τηλικαύτην ἔχοντι τὴν ῥοπὴν, ὑπὸ δαπανῇ κούφων πνευμάτων ὑπομνήσει, ἄλλοσέ ποι παρέλκεσθαι καὶ ἀποσηκωθῆναι. Οὐχὶ γὰρ ἀπείρους ἔχειν οἰόμεθα, ὅσα ἐν τῷ πολιτεύεσθαι συμβῇ ἐλαττώματα, ἐπὶ τῷ εἰς πράγματα ὡραῖα ἤδη τῇ βουλῇ καθεστῶτα τὴν καινοτομίαν προσιέναι· ὡς καὶ πάμπολυ ἀναγκαῖόν ἐστι, μηδὲν ἑαυτῷ διαφέρεσθαι ἐν τῷ τὸ τῆς πολιτείας δημοσίως ἐγνωσμένα βεβηκότως ἐρείδεσθαι, ἐπεί γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων καινοὺς τῶν πεπραγμένων τύπους ἑκάστοτε γλιχόμενοι, οὕτως ἀκαταστάτως καὶ ταραχωδῶς φέρονται, ὡς ἐάν ποι ἐνδέχηται τὸ πείθεσθαι αὐτοῖς, καὶ παρακολουθεῖσθαι, πάσας τῆς πολιτείας πράξεις γελοίως καὶ καταπεφρονημένως διακεῖσθαι ἀπειργάσαντο, ἀλλὰ μὴν ἡ βεβηκυῖα κατάστασις τῶν πραγμάτων, τῶν ὀρθῶς βεβουλευμένων τε καὶ ἐπικεκυρωμένων, πάσης τῆς πολιτείας ἀεὶ τυγχάνει οὖσα ἡ σωτηρία.

Δοθὲν ἐν Παλατίῳ ἡμῶν Οὐεσμοναστηρίῳ πέμπτῃ ἡμέρᾳ τοῦ Μαρτίου, ἐνιαυτῷ τῆς βασιλείας ἡμῶν τῆς Ἀγγλίας, Φραγκίας, καὶ Ἱβερνίας πρώτῳ, Σκοτίας δὲ τεσσαρακοστῷ καὶ ἑβδόμῳ.

Σώσαι Θεὸς τὸν Βασιλέα.

ΤΑ ΠΡΟΛΕΓΟΜΕΝΑ.

Οὐδὲν τὸ παράπαν ἐγένετο οὕτως ἀνθρωπείᾳ τῇ συνέσει καλῶς πώποτε ἐφευρημένον, ἢ οὕτω στερρῶς βεβαιούμενον, ὥστε περιιόντι τῷ χρόνῳ οὐ μὴ ἐνδέχεσθαι διεφθαρμένον εἶναι, καὶ παντελῶς σεσυλημένον, ὅπερ (ὥστε τἆλλα ἐᾶν) ἐν τῇ δημοσίων Ἐκκλησίας εὐχῶν ὑποθήκῃ, ἣν ἔθος ἐστὶ καλεῖν τὴν θείαν Θεραπείαν, παρὰ πᾶσιν ἐστὶν ὁμολογεῖσθαι. Ἣν δήπου εἴ τις τοῖς ἀρχαίοις ἐθέλοιτ' ἂν ἐκ παλαιῶν τῶν πατέρων ἀνιχνεύεσθαι, σκοπούμενος εὑρήσει, αὐτοὺς μηδὲν ἄλλο, πλὴν ὅτι πρὸς ἀρετὴν καὶ θεοσέβειαν δυνηθείη ἐπιδοῦναι, προαιρεῖσθαι. Καὶ γὰρ ἅγιοι οἱ πατέρες τὸν δὲ τρόπον τὸ πρᾶγμα διέταξαν, ὥστε ἅπαντα ὅσα τὰ Βιβλία, ἢ μεῖζον αὐτῶν τὸ μέρος, ἅπαξ κατ' ἐνιαυτὸν ἀναγινώσκεσθαι. Τοῦτο ἄρα στοχαζόμενοι, ἵνα οἱ ἐν τῷ κλήρῳ ὄντες, ἄλλως τε καὶ οἱ τῶν ὁμίλων Διάκονοι, παρὰ τοῦ συνεχῶς ἀναγνῶναι καὶ μελετῆσαι τὰς Γραφάς, αὐτοὶ μὲν ἀναζωπυροῦντες τὸ χάρισμα τοῦ Θεοῦ πρὸς τὴν θεοθρησκείαν παρεξωσθείησαν, καὶ δὲ καὶ πρὸς τὸ τὴν Ἐκκλησίαν ὑγιαινόντων λόγων διδαχῇ παρακαλεῖν τε, καὶ τοὺς τῇ ἀληθείᾳ ἐναντιοῦντας ἐξελέγχειν, ἱκανώτεροι γενηθείησαν. Ἔτι δὲ, ἵνα οἱ ἐν τῷ λαῷ ὄντες, παρὰ τοῦ ὁσημέραι συναγίας τὰς Γραφὰς ἐν τῷ ναῷ ἀνεγνωσμένας ἐνωτίσαι, πλέον ἀεὶ καὶ πλέον ἐν τῇ τοῦ Θεοῦ ἐπιγνώσει προκόψειαν, καὶ πολὺ μᾶλλον πεπυρωμένῃ θείας τῆς λατρείας ἀγάπῃ ἐμπρησθείησαν. Ἀλλὰ μὲν οὖν, ἐκ ὀλίγοις ἔτεσι πρὸ τοῦδε παραλελυθόσι, ἐκείνη εὐσεβὴς καὶ συμπρεπέστατη ἀρχαίων τῶν πατέρων διάταξις, (διὰ τοῦ ἐμφυτεῦσαι τὰ ἄδηλα τῶν ἱστοριῶν τὰ ἀναγνωστέα τε καὶ ἀποκειτέα, ρησείδια, βαττολογήματα, ὑπομνήματα, καὶ τὰ τῶν συνόδων παραγγέλματα) οὑτωσὶ μετηλλάχθη, διερρήχθη, καὶ περιώφθη, ὥστε ἐπὶ τὸ πλεῖστον ὅταν τι τῶν ἁγίων Βιβλίων ἀρκτέον ᾖ, πρὶν ἂν τρία ἢ τέσσαρα κεφάλαια διαπεραίνεσθαι, ὅσα τὰ περίλοιπα πάντη πάντως ὑστερεῖσθαι. Ὡσαύτως ἐπεχειρήθη μὲν ἡ βίβλος Ἡσαΐου τοῦ Προφήτου ἐν τῇ Παρουσίᾳ, καὶ βίβλος Γενέσεως ἐν τῇ Ἑβδομηκοστῇ ἐπιχειρήθη δὲ, ἀλλ' οὐδὲ πώποτε περατώθη· καὶ ταῦτα πεπόνθασιν αἱ ἄλλαι ἱερῶν τῶν Γραφῶν βίβλοι. Προσέτι δὲ, ἐπειδὰν ὁ ἅγιος Παῦλος ἐκέλευσεν ἐν τῷ ἱερῷ πρὸς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν ἐπιχωρίῳ τῇ γλώσσῃ διηγορῆσαι, οἱ μὴ πολὺ πρὸ ἡμῶν Ἀγγλικανῷ τῷ λαῷ, οὐδὲ γὰρ συνιόντι τι Λατινιστὶ, τὰ περὶ τῆς

Λειτουργίας

Λειτουργίας ἀπήνεγκε· ὥστε καὶ ἐν τοῖς ὠσὶν αὐτῶν ἀπήχησαν, ἀλλὰ τὴν καρδίαν, πνεῦμα, καὶ διάνοιαν, οὐδαμῶς ᾠκοδομήθησαν. Πρὸς τούτοις, ἡνίκα ἅγιοι οἱ πατέρες ἡμῶν τοὺς Ψαλμοὺς εἰς ἑπτὰ τὰς μερίδας, ὀνόμασι Νυκτερινὰς, διείλοντο, ἀφ' ὧν καθ' ἑκάστην τὴν ἑβδομάδα τὸ ψαλτήριον διανυσθῇ, ἔναγχος μὲν μόλις ἂν ὀλίγοι ὁσημέραι ἐτύγχανον εἰλεγμένοι, καὶ ἔτι γε παλιλλογούμενοι, ἕτεροι δ' ἤδη πολὺ πλείους εἰρημένων οἱ παραλελειμμένοι. Τέλος δὴ, ὁ ἀριθμὸς τῶν κανόνων τῆς κοινῇ λεγομένης Πικῆς οὕτω δύσκολος ἦν καὶ περιπεπλεγμένος, τηλικαύτη τῆς Λειτουργίας ἡ μεταλλαγὴ, ὥστε τὸ τὴν Βίβλον κατακυλίσαι, μόνον πρὸς τὸ τὰ ἀναγνώσματα εὑρῆσαι, πολλῷ χαλεπώτερον ἀνεφαίνετο τοῦ τὰ εὑρηθέντα ἀναγνῶναι.

Τούτων ἄρα ἀχρείων τε, καὶ ἀτόπων, εἰς ἔννοιαν ἐλθόντων, ἐκεῖ μὲν τοιαύτη τάξις ἐξεδόθη, τὰ πρότερον ἁμαρτηθέντα ἱκανῶς ἐπανορθοῦσα. Καὶ μὲν καὶ ἐπὶ τὸ προχείρως ἔχειν τὰ ὧδε τεταγμένα, τὸ πρὸς ἔπος Μηνολόγιον εὐκαταμάθητον προσήρτηται, ὅπου δῆθεν (ὅσον γε οἷόν τ' ἐστὶ) ἡ παναγίας τῆς Γραφῆς ἀνάγνωσις οὕτω πρὸ ὀφθαλμῶν τέθειται, ὥστε πάντα γενέσθαι εὐσχημόνως, καὶ κατὰ τάξιν, ἄνευ κοπῆς καὶ σπαράγματος λόγου τοῦ συνημμένου. Διὸ γὰρ ἐξήλειπται τὰ ἀναθήματα, ἀντίφωνα, ἀποκρίματά τε, καὶ παραγγέλματα, καὶ τὰ λοιπὰ τὴν διηνεκῆ Γραφῆς συνάφειαν διασπάσαντά τε καὶ διερραγότα. Ἀλλ' ὅμως, ἐπεὶ ἀναγκαῖόν ἐστι προστεθῆναι ὁπόσους τινὰς κανόνας, ἔοικεν ἐκδιδάξαι τούς, ὡς κατ' ἀριθμὸν σπανιωτάτους, οὕτω καὶ κατὰ νοῦν σαφεστάτους τε καὶ σεσαφισμένους. Ἐνταῦθ' οὖν συνίσταται ὑμῖν δημοσίων εὐχῶν ὁ τύπος τῷ σκοπῷ καὶ διανοίᾳ τῶν πάλαι πατέρων, κατ' αὐτὴν ἐφαρμόττων, ὁ τοῦ πρὸ τοῦδε ἐν τῇ χρείᾳ γεγονότος ὠφελιμώτερός τε καὶ χρησιμώτερος. Ὠφελιμώτερον λέγω, ὅτι μὲν ὧδε οὐκ ὀλίγα τυγχάνει παρειλημμένα, ὧν τὰ μὲν μυθοπλαστα δὴ, τὰ δὲ ἄδηλα, τὰ δὲ μάταια καὶ φλήναφα, πολλὰ δ' ἤδη βδελυρὰ καὶ δεισιδαίμονα ἀναπέφηνε, καὶ οὐδὲ τοπαράπαν ὧδε προσσυνήχθη ἀναγνωστέον. πλὴν ἤτοι ἀκαπήλευτος, καὶ ἄδολος Θεοῦ λόγος, δηλονότι ἡ παναγία Γραφὴ, ἢ τὸ ἐν αὐτῇ φανερῶς ἐρριζωμένον τε καὶ βεβαιούμενον, καὶ μάλα τοῦτο ἐν ἐκείνῳ τῷ ἰδιώματι, καὶ τάξει ὑποτεθὲν, ὥστε ὑπὸ τῶν ἀναγνωστῶν τε καὶ ἀκροατῶν ῥᾷστον εἶναι καὶ εὐκοπώτατον συνιέναι. Χρησιμώτερον δὲ φάσκω, ὅτι παροῦσα ἡ ὑποτύπωσις συντόμως ἔχει, καὶ γνωρίμως, ὀλίγοις δηλαδὴ κανόσι (ὡς δυνατὸν ἂν) διακειμένη· ὅτι δὲ καὶ ὁ Διάκονος ἐν δημοσίᾳ τῇ ὑπηρετήσει ταύτην μόνον καὶ παναγία τὰ Βιβλία κεκτημένος, οὐδεμιᾶς ἄλλης προσδεήσεται βίβλου· ὅθεν ἐστὶ κατιδεῖν, ἵνα ὁ λαὸς εἰς τὸ πορίζεσθαι τὰς Βίβλους, ἡλίκην ἐν τοῖς ἄνωθεν χρόνοις δαπάνην ἐδαπάνησαν, οὐδαμῶς τοαποτοῦδε ἀναλώσειν.

Ἐπειδὴ, καὶ ἐν πολλοῖς τῆς δὲ τῆς βασιλείας ναοῖς πολὺ διεστώσας ἐγεννήθησαν ἐν τῷ ᾄδειν καὶ ἀναγνῶναι αἱ συνήθειαι, καὶ οἱ μὲν ἐμιμοῦντο ἔθος τὸ κατὰ Σαροῦμ, οἱ δὲ

καθ'

κατ' Ἑρεφορδίαν, οἱ δὲ κατ' Ἐβόρακον, οἱ δὲ καὶ κατὰ Λινκολνίαν, τοὐντεῦθεν ἐν ἁπάσαις ταύτης τῆς βασιλείας Ἐκκλησίαις μονοειδὴς ἀμφιπολεῖται ἡ συνήθεια. Ἐὰν δέ τις μέμφηται, χαλεπωτέραν εἶναι ταύτην τὴν τάξιν, ἐπὶ τὸ δεῖν ἅπαντα ἤδη ἐκ Βίβλου ἀναγνῶναι, ἐπειδὰν περὶ τοῦδε ἐξ ἀκροάσεως μόνον, διὰ τὸ συχνῶς ταῦτα ἀναπεμπάζεσθαι, δυνηθείη τὰς τὰ πολλὰ μὲν ἀποστοματίσασθαι. οὗτος ἐὰν ἐθελοίη τοῦ πόνου τὴν ὠφέλειαν ἀντιταλαντεύειν, οὐκ ἂν ἔξαρνος εὑρεθείη περὶ τὰ συμφέροντα, τὰ καθ' ἑκάστην προιστάμενα τὴν ἡμέραν, σπουδὴν πᾶσαν καὶ προθυμίαν ποιήσασθαι. Ἐπειδὴ, καὶ οὐδὲν σχεδὸν δυνηθῇ ὡσαύτως ἀκριβῶς καὶ τρανῶς δημοσιεύεσθαι, ὥστε οὐ μὴ μετέπειτα ἐν τῇ πράξει καὶ χρήσει ἀπορίαν τινα ἐνίοτε ὑποφύεσθαι· ὁσάκις ἂν ἐνδοιάσιμόν τι παρεμπέσηται, ἐπὶ τὸ διαλῦσαι αὐτὸ, καὶ πρὸς τὸ θόρυβον καὶ κρότον ἀναπαῦσαι περὶ τοῦ ἑρμηνεύειν τὰ νοηθέντα ἐν τῇ πράξει, καὶ παρατηρήσει τῶν ἐν ταύτῃ τῇ Βίβλῳ περιεχομένων, οἱ ἀμφισβητοῦντες τὸν ταύτης τῆς διοικήσεως Ἐπίσκοπον προσκαλέσονται, ὃς κατὰ τὰ ἐν τῇ δὲ τῇ Βίβλῳ καθεστῶτα πάσας τὰς ἀντιλογίας διεξάξαι. Ἐὰν δὲ ὁ Ἐπίσκοπος τῆς διοικήσεως διστάζῃ τι, πρὸς τὸν Ἀρχιεπίσκοπον δυνάσθω μεταπέμπειν· Ἀλλ' εἰ καὶ ἐν τοῖς ἄνω προειρημένοις προστάχθη, ὅτι ἐγχωρίῳ τῇ γλώσσῃ ταῦτα πάντα ἀναγνωσθείη, ἢ ᾀδοίη, ἐφ' ᾧ τὸν ὅμιλον οἰκοδομεῖσθαι· ὅμως δὲ οὐδέν ἐστιν ἐμποδὼν τῷ ἰδίᾳ τελέσαντι Ἑωθινάς τε καὶ Ἑσπερινὰς εὐχὰς, ποιεῖσθαι αὐτὰς ἐν οἵᾳ περ οὖν γλώσσῃ τυγχάνει ὢν ἐπιστήμων.

Προσέτι δὲ, πρέπει τοὺς πρεσβυτέρους τε καὶ διακόνους, εἰ μὴ ἀνακηρύξει τοῦ λόγου, ἢ τῇ τῆς θεοσοφίας φροντίδι, ἤτοι ἄλλῃ βαρείᾳ τινι οὖν αἰτίᾳ κατακωλυθέντας, ἢ μὲν ἰδίᾳ, ἢ δὲ δημοσίᾳ, καθ' ἑκάστην τὰς Ἑωθινάς τε καὶ Ἑσπερινὰς εὐχὰς προσηκόντως ἀγορεῦσαι. Καὶ ὁ Κηδεμὼν ἐν πάσῃ παροικικῇ τῇ Ἐκκλησίᾳ, ἢ βασιλικῇ, διακονήσας, καὶ οἴκοι παραμείνας, εὐλόγῳ τῇ αἰτίᾳ μὴ ἐμποδισθεὶς, ἐν τῷ ναῷ ὅπου ὑπηρετοίη ἄν, ποιήσει τὰς εὐχὰς, καὶ κρούσει τὸν κώδωνα, πρὸ σημαντέον, ὅπως οἱ εὐσεβῶς διακείμενοι δυνηθῶσι φοιτᾶν ἐπὶ τὸ τὰ λόγια Θεοῦ ἀκροᾶσθαι, καὶ παρακαλυθεῖν ἐν τῷ προσεύχεσθαι.

ΠΕΡΙ

¶ ΠΕΡΙ ΤΩΝ ΤΕΛΕΤΩΝ ΙΝΑ ΤΙ ΕΝ ΤΗ Ἐκκλησίᾳ ἡμῶν Ἀγγλικανῇ, αἱ μὲν ἀκυροῦνται, αἱ δὲ βεβαιοῦνται.

Ἐκ τῶν ὑπὸ τῆς Ἐκκλησίας εἰθισμένων Τελετῶν τῶν ἐξ ἀρχῆς ἀνθρωπείᾳ τῇ ὑποθέσει νενομισμένων τινὰς μὲν ἔστιν ἰδεῖν τῆς τοῦ Θεοῦ λατρείας καὶ εὐσεβείας τὸ κατ' ἀρχὰς ἐστοχασμένας, ἀλλ' οὖν γε χρόνῳ παμπλήθει ὕστερον εἰς τὴν ματαιότητα καὶ δεισιδαιμονίαν παραχωρώντως ἐσφαλμένας· τινὰς δὲ ἀπερισκέπτῳ τινὶ τῇ εὐλαβείᾳ καὶ ζήλῳ μὴ κατ' ἐπίγνωσιν ἀνημμένας ἐν τῇ Ἐκκλησίᾳ παραφυομένας, καὶ ταύτας, διὰ τὸ ἀρχῆθεν ὑπερεωρακέναι εἰς ἀθέμιτόν τε καὶ δεινὴν ὕβριν ἑκάστοτε κατὰ μικρὸν ηὐξημένας τε καὶ ἐκτεταμένας· αἵπερ ὅτι μὲν οὐ μόνον εἰς οὐδὲν ὠφελήσιμαι ἐτύγχανον οὖσαι, ἀλλ' ὅμως ὅτι τὸν λαὸν ἐξετύφλωσαν, καὶ τὴν τοῦ Θεοῦ τιμὴν λίαν ἐπεσκότησαν μάλα εἰκότως ἐγκόπτονται, καὶ ἄρδην ἐκποδὼν ἀφαιροῦνται. Ἔστι δὲ σκοπεῖν τὰς ἄλλας καίπερ παρὰ τῶν ἀνθρώπων ἐφευρημένας, ὅμως δῆλον, ἅτε διὰ τὴν προσήκουσαν τῇ Ἐκκλησίᾳ εὐταξίαν (ἣν οἱ ἀλφησταὶ μάλιστα προὐπετίθησαν,) ἅτε, διὰ τὴν οἰκοδομήν, ἣν ἐκεῖναι ἀτενὲς ἀποβλέπουσιν, ἕως παρατηρηθῆναι ἀξιωθείσας· καθὼς κελεύει ὁ Ἀπόστολος πάντα πρὸς οἰκοδομὴν γινέσθω. Ἐπειδὴ ἤτοι ἀκριβῶς διαφυλάξαι μὴ ἐν παρέργου μέρει ἑκάστην τὴν τελετὴν οὐκ ἂν δοκῇ μεγάλην πρὸς ἀρετὴν τὴν ῥοπήν· ἀλλὰ κομπώδει καὶ ὑπεροπτικῷ τινὶ ὄγκῳ παραβαίνειν καὶ κοινὴν τῆς παιδείας τάξιν χάσματι διασπαράξαι, εἴπερ οὐ δεῖν ἐνώπιον τοῦ Θεοῦ ἔν τι τῶν ἐλαχίστων ἀνομημάτων οὐκ οἶδα.

Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω, εἶπεν ὁ ἅγιος Παῦλος. τὸ δὲ ταύτην τὴν τάξιν καταστῆσαι, οὐκ ἔστιν ἔργον τῶν ἰδιαζόντων, διόπερ οὐ χρὴ τὸν μὴ νομίμως κεκλημένον ἢ τὸν μὴ ἱκανὴν ἐξουσίαν εἰληφότα τολμᾶν, ἐν Ἐκκλησίᾳ τοῦ Χριστοῦ τῆς δημοσίας καὶ κοινῆς τάξεως οὔτε καθήγησιν οὔτε μετάλλαξιν αὐτομάτῃ μεταχειρίζεσθαι.

Ἐπειδὴ δὴ τουτοὶ τῷ παρόντι χρόνῳ οἱ πλεῖστοι τῶν ἀνθρώπων τοσούτῳ τῇ διανοίᾳ διήνεγκαν, ὥστε οἱ μὲν τῷ ἔθει φιλοῦντες προσεσχηκέναι, μεγάλην παίρεσθαι τῆς συνειδήσεως τρῶσιν ἐνόμιζον, εἰ καὶ κατὰ μικρὸν τῶν εἰθισμένων τελετῶν ἀπολιμπάνωσιν· οἱ δὲ ἐκ τοῦ [illegible]πικοῦ τῇ καινοτομίᾳ φιλοτιμούμενοι οὕτω τὰ ἀρχαῖα περὶ οὐδενὸς ἐποιήσαντο, ὥστε μηδὲν τὸ παράπαν ἀρχαῖον φαίνεσθαι εὐάρεστον, πλὴν τὸ νεοχμὸν, καὶ ἐξ ὑπογύου ἀναπεπλασμένον, τοιγαροῦν προὐργιαίτατον ἔδοξε μὴ πρὸς χάριν ἑκατέρων, ἀλλὰ πρὸς τὸ ἀρεσκόντως ἔχειν

τὴν Θεῷ ἀφορᾶν, καὶ ὁποτέρωθεν ὠφελῆσαι. Ἵνα δὲ μή τις (ὃ δῆτα μὴ τῆς πειθοῦς ἀφωνιάζων) προσκρουσθείη, ἄλογα τὰ αἴτια ὧδε ἐπιφέρεται διότι τῶν τελετῶν τινὲς μὲν ἀφῃρέθησαν, τινὲς δὲ συνεπεκυρώθησαν· ἔνιαι μὲν οὖν ἀποχειροτονοῦνται, πρὸς τὸ ἐπιμειῶσαι τὸ περίσσωμα τῶν τελετῶν τῶν οὐ πρὸ πολλοῦ μὲν οὕτως ἀλλεπαλλήλως συνηθροισμένων, ὥστε τὸ ὑπομεῖναι φορτίον αὐτῶν ἕν τι τῶν ἀδυνάτων εἶναι ἐλογίσθη. Τοιγὰρ ὁ ἅγιος Αὐγουστῖνος Ἐκκλησίας εἶτα εἰς τὴν ἀκμὴν ἐληλακυίας, σφόδρα καὶ βαρέως ἐμέμφετο τὸν ὄγκον ἐκείνων παρὰ τοσοῦτο τότε ἐπισωρευθέντα, ὥστε κάλλιον φέρεσθ' ἂν τὰ τῶν Ἰουδαίων ἐν τούτῳ μέρει τῆς Χριστιανῶν, ἄρα οὖν αἴτιός ἐστι καὶ σύμβουλος ὡς αὐτίκα δυναίμεθ' ἂν τὸν καταθλίβοντα ζυγὸν καὶ ἀβάστακτον ἄχθος ἀποσείσασθαι.

Τί δῆτα εἴποι ἂν ὁ ἅγιος Αὐγουστῖνος ἰδὼν τελετὰς τὰς πρώην μεταξὺ ἡμῶν εἰθισμένας τῶν ἐν ἐκείνου τοῖς χρόνοις γεγενημένων χρῷ πολὺ μὲν ὑπερβεβηκυίας; καὶ γὰρ ὁ ἐσμὸς αὐτῶν εἰς τηλικοῦτο τὸ μέγεθος ἐπεδόθη καὶ σκοτεινοῖς τισιν αἰνίγμασιν οὕτως ἐνειλίχθη, ὥστε πεφυκέναι μᾶλλον ἐπισκιάζειν τὰ χαρίσματα τοῦ Χριστοῦ, ἢ ἐνσημαίνειν τι καὶ ἀναγγέλλεσθαι. Πρὸς τούτοις δὲ Εὐαγγέλιον τοῦ Χριστοῦ μηδαμῇ δεῖται τελετῶν καθάπερ τὰ τοῦ Μωϋσέως ἐντάλματα, ἀλλὰ ἄχραντος οὖσα καὶ ἁγνὴ ἡ λατρεία τοῦ Θεοῦ οὐκ ἐν τῇ τῶν τύπων καὶ σκιασμάτων δουλείᾳ, ἀλλ' ἐν τῇ τοῦ πνεύματος ἐλευθερώσει κατασταθεῖσα, ἀρκεῖται καὶ ἀγαπᾷ μόνον τοιαύταις ταῖς τελεταῖς αἵπερ διὰ φανερὰ τὰ σύμβολα καὶ γνωρίσματα πρὸς τὴν οἰκοδομὴν ῥυθμίζονται συμπρεπεῦσι τῇ εὐταξίᾳ θεραπεύουσι· αἱ δὲ καὶ ἡ συνήθησαν ἠλίθια τῆς ἀνθρωπίνης φύσεως ὑπηλιάσματα παρορμᾶν καὶ ἀπομνῆσαι ἡμᾶς ὁποίαν δὴ τιμὴν προσήκει τῷ Θεῷ ἀπονέμειν. Πρὸς ἔτι δεινοτάτη ἡ αἰτία προηγουμένη ἐπὶ τὸ ἀφανίζεσθαι ἐνίας τὰς τελετὰς τοιαύτη ἐστίν, ὅτι μὲν ἅτε διὰ τὴν τῶν ἀπαιδεύτων τυφλότητα καὶ δεισιδαιμονίαν, ἅτε ἢ διὰ ῥύπον καὶ πλεονεξίαν τῶν αἴσχιστον ἑαυτῶν κέρδος προεξιόντων, μᾶλλον ἢ τὴν τοῦ Θεοῦ δόξαν ἐπιφημιζόντων, οὕτω βδελυρῶς ἐτύγχανον ἐφθαρμέναι, ὥστε οὐχ οἷόν τ' ἦν ταύτων τῶν τελετῶν παραμεμιγμένων τὰ ὑβρισθέντα ἀνελέσθαι.

Ἐὰν δέ τις ἀγανακτοίη εἴπερ ἔνιαι τῶν πάλαι τελετῶν περαιτέρω ἐπικυρωθῶσιν, οὗτος ἐνθυμούμενος, ὅσον γὰρ ἀμήχανόν ἐστι τοὺς ἅπαξ ἁπάσας τὰς τελετὰς χαίρειν ἐάσαντας, τὸ ἀμετάθετον τῆς τάξεως, καὶ ἀπαρχὴν τῆς παιδείας ἐν τῇ Ἐκκλησίᾳ διαφυλάξασθαι, δίκαιον ἡγήσεται εἰς τὰ βελτίω τῶν ἀλλοιούμενον αὐτοῦ νῦν ἐπαγαγεῖν· ἢν δέ τις χαλεπαίνῃ θεωρῶν τινας ἐκ τῶν ἀρχαϊκῶν προσέτι ἐπιγινομένας, προτιμῶν τὰ καινὰ καὶ ἀναχώνευτα τῶν πάλαι διατετριμμένων· οὗτος μὲν τὸ δέον εἶναι τινάς ποτε τελετὰς ἐν τῇ Ἐκκλησίᾳ καταστῆναι συγχωρήσας (εἰ μὴ δῆλος ἔσται ποιούμενος τὴν ἑαυτοῦ ῥᾳθυμίαν) ὁμολογήσει, ὅπου μὲν ὀρθῶς καὶ εὐσεβῶς

αἱ

…αἱ ἀρχαῖαι δυνηθῶσιν ἐν τῇ χρήσει προσκαρτερεῖν· ἐνταῦθα μὴ θέμιτον εἶναι τὰς παλαιὰς μόνον διὰ τὴν παλαιότητα ἐπιτιμᾷν τε καὶ ἀπορρίπτειν· καὶ μάλα, χρὴ διὰ τὴν σεβάσμιον πολιότητά τε, καὶ ἀρχαιογονίαν, δι᾽ αἰδοῦς ἄγειν καὶ θαυμάζεσθαι αὐτάς, εἴπερ φίλον ἐστὶ τῇ ὁμοφροσύνῃ καὶ ἑνότητι, μᾶλλον ἢ τῇ καινοτομίᾳ καὶ νεωτεροποιΐᾳ προσέχειν τὸν νοῦν, ἧς ὅσον …ιόντι ἐστὶν ἐν τῇ εὐαγγελικῇ θεοθρησκείᾳ τοῦ Χριστοῦ πεφυλαγμένοις εὐλαβητέον. Ἔπειτα δὲ οἱ ταῦτα ἐρευνῶντες οὐκ ἂν εὐπρόσωπον ἕξουσι τὴν αἰτίαν τοῦ χαλεπῆναι τελεταῖς ταῖς ἀποκατασταθείσαις, καὶ γὰρ καθὼς αἱ τῶν λαῶν τροπὴν ἀγχέως …ρυθμίσασαι, καὶ τὰ συνειδότα τῶν ἀνθρώπων περιέργως ἐπιφορτίζουσαι, νυνὶ μὲν φυγαδεύονται· ὅπως αἱ ἀναδοθεῖσαι πρὸς τὴν τάξιν καὶ παιδείαν μάλιστα ἀναφέρονται· καὶ αὗται τοσοῦτον ἀπολελειμμέναι γεγόνασι τιμῆς τῆς τῷ θείῳ λόγῳ προσηρμοσμένης, ὥστε εὐκαταφόρους εἶναι ἀκυροῦσθαι καὶ μεταλλαγιῶσαι, ὁσάκις ἂν ἐνδέχηται βαρεῖαν τινὰ καὶ δικαίαν τὴν αἰτίαν παραπίπτειν.

Τέλος δὲ αἱ παροῦσαι τελεταὶ οὔτε ἄσημοι οὔτε ἄφωνοι τυγχάνουσιν οὖσαι, ἀλλὰ τὸν δὲ τρόπον προτέθειται ὥστε πᾶσι παρὸν οὐδὲ μὲν δεῖν ἰδεῖν, τί δήποτε αἰνίττονταί τε καὶ ἐνσημαίνουσιν· οὐδὲ πιθανόν ἐστι ποτ᾽ οὐδὲ ταύτας μέλλειν ὡς πάλαι καθ᾽ ὕβριν διασπασθῆναι. Οὐδὲ ἐντεῦθεν τῶν ἐθνικῶν καὶ ἀλλοτρίων καταγορευομένων, οὐδὲ ταύτην τὴν ὑποτύπωσιν ἐπιτρέπεις τοῖς ἔξωθεν ἀλλ᾽ αὐτόχθοσι καὶ ὁμοφύλοις ἡμῶν παραγγελλομένων· ἡγούμεθα γὰρ ἀνήκειν πάσῃ τῇ πολιτείᾳ διατελεῖν κεχρημένην τελεταῖς, αἷς μάλιστα δυνηθείη τὴν τοῦ Θεοῦ δόξαν ἐπιφημίζειν, καὶ τὸν λαὸν πόρρω τῆς πλάνης καὶ δεισιδαιμονίας, πρὸς τὸν ἐντελῆ καὶ εὐσεβῆ βίον προσαγαγεῖν, καὶ ὅπη μὲν αἰσθήσεται παραληρεῖν, καὶ τῆς εὐθείας ἀποκλίνειν (ὥσπερ ἀνθρωπείοις τοῖς προστάγμασιν ἐν διαφόροις ταῖς χώραις οὐκ ὀλιγάκις συμβαίνει) ἀπαξαπλῶς ἀπώσασθαι.

ΠΙΝΑΞ ΕΝ Ἡ ΤΑΞΙΣ ΤΩΝ ΨΑΛΜΩΝ ΚΑΙ ἀναγνωσμάτων ἐν Ἑωθιναῖς τε καὶ Ἑσπεριναῖς εὐχαῖς καθ᾽ ὅλον τὸν ἐνιαυτὸν ὑποτυποῦται, χωρεὶς ἰδίων τινῶν Ἑορτῶν, καθάπερ οἱ ἑξῆς κανόνες διὰ βραχέων ἐκδηλοῦσι.

Σύνολον τὸ ψαλτήριον καθ᾽ ἕκαστον τὸν μῆνα ἐφ᾽ ἅπαξ ἀναγνωσθήσεται, ἐπειδὴ δὲ οὐκ αὐτός ἐστιν ἐν ἅπασιν ὁ τῶν ἡμερῶν ἀριθμός, ἀλλ᾽ οἱ μὲν πλείους οἱ δὲ ὀλιγωτέρας χωροῦσι τὰς ἡμέρας, τόνδε τρόπον ἔοικεν ἀλλήλοις ἐξισάζειν.

Ἐν δὲ ἑκάστῳ τῷ μηνὶ [ὅσα πρὸς τὸ παρὸν φέρεται] τριάκοντα αἱ ἡμέραι ἀναλογισθήσονται.

Ὅμως δὴ καὶ ἵνα ὁ Ἰανουάριος καὶ ὁ Μάρτιος μίαν καὶ τριάκοντα τῶν ἡμερῶν ὑποδέχονται καὶ μεταξὺ αὐτῶν ὁ Φεβρουάριος εἴκοσι ὀκτὼ μόνον περιέχει, οὗτος ἑκατέρωθεν δανείζεται τὴν ἡμέραν, ὥστε τὸ ψαλτήριον (ὃ μὲν ἀναγνῶναι δεῖ κατὰ μῆνα Φεβρουαρίου) ἀρχὴν λήψεσθαι, ἐν ὑστάτῃ Ἰανουαρίου τῇ ἡμέρᾳ, καὶ πρώτῃ τοῦ Μαρτίου διαπερανθήσεσθαι.

Ἡνίκα δὲ ὁ Μάϊος, Ἰούλιος, Αὔγουστος, Ὀκτώβριος τε καὶ Δεκέμβριος μίαν καὶ τριάκοντα καθ᾽ ἕκαστον ἔχουσι τὰς ἡμέρας, ἔγνωσαι ὅτι ὅσοι μῆνες ἐν ἐσχάτῃ τῇ ἡμέ δεῖ τοὺς ψαλμοὺς τοὺς δήπουθ προτεραίᾳ λεχθέντας εἰσαῦθ ἀναπεμπάζεσθαι, ἵνα τὸ ψαλτήρι δυνηθῇ κατὰ πρώτην ἡμέραν ἐ μησὶ τοῖς ὑπακολουθοῦσιν ἐξάρχ σθαι.

Νῦν δὲ ἐπὶ τὸ συνιέναι ὁπόσ δῆτα ψαλμοὺς δέον οὐ καθ᾽ ἑκάστην ἀναγνῶναι τὴν ἡμέραν, ἔρδ᾽ ἵνα πα ρούσης ἐν τῷ μηνολογίῳ ἀριθμὸ καὶ τοῦτον ἐν τῷ ἑξῆς πίνακι ἐπιζήτ καὶ ἐν ταύτῃ τῇ σελίδι εὑρεῖν ὅσ ὅσους ποῖ᾽ ἂν ψαλμοὺς ταυτημερ ἐν ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐχαῖ προσήκεν εἶτα ἀναγνῶναι.

Ἐπειδὴ ὁ ψαλμὸς ριθ᾽ εἰς δύ καὶ εἴκοσι περιόδους διαμερίζηται καὶ τοίγε ἐπιμηκέστερος ἂν εἴη ἢ ὥστ ἐνικῷ τινι οὖν καιρῷ σύμπαν διεξ έρχεσθαι, ἄρα οὖν τέσσαρα ἢ πέντε π μοιείδια ἐφ᾽ ἅπαξ ἀναγνωσθῆναι προσγέγραπται, καθὼς ἐν τῇ ἑξῆ πίνακι πρὸ ὀφθαλμῶν τίθεται.

Προσεκτέον τὸν νοῦν ὅτι ἐν ταύτῃ τῇ πίνακι καὶ πάσῃ τῇ διατάξει ψαλμῶν, λογισμῷ Ἑβραίων ἐξηκολουθήσαμεν.

ΨΑΛΜΟΙ

ΨΑΛΜΟΙ.

ἡμ.	¶ Ἑωθιναὶ εὐχαί.	¶ Ἑσπεριναὶ εὐχαί.
α	α. β. γ. δ. ε.	ϛ. ζ. η.
β	θ. ι. ια.	ιβ. ιγ. ιδ.
γ	ιε. ιϛ. ιζ.	ιη.
δ	ιθ. κ. κα.	κβ. κγ.
ε	κδ. κε. κϛ.	κζ. κη. κθ.
ϛ	λ. λα.	λβ. λγ. λδ.
ζ	λε. λϛ.	λζ.
η	λη. λθ. μ.	μα. μβ. μγ.
θ	μδ. με. μϛ.	μζ. μη. μθ.
ι	ν. να. νβ.	νγ. νδ. νε.
ια	νϛ. νζ. νη.	νθ. ξ. ξα.
ιβ	ξβ. ξγ. ξδ.	ξε. ξϛ. ξζ.
ιγ	ξη.	ξθ. ο.
ιδ	οα. οβ.	ογ. οδ.
ιε	οε. οϛ. οζ.	οη.
ιϛ	οθ. π. πα.	πβ. πγ. πδ. πε.
ιζ	πϛ. πζ. πη.	πθ.
ιη	ϟ. ϟα. ϟβ.	ϟγ. ϟδ.
ιθ	ϟε. ϟϛ. ϟζ.	ϟη. ϟθ. ρ. ρα.
κ	ρβ. ργ.	ρδ.
κα	ρε.	ρϛ.
κβ	ρζ.	ρη. ρθ.
κγ	ρι. ρια. ριβ. ριγ.	ριδ. ριε.
κδ	ριϛ. ριζ. ριη.	ριθ. ἐντεῦθεν δ. περιοδεύει.
κε	ἐντεῦθεν. ε.	ἐντεῦθεν. δ.
κϛ	ἐντεῦθεν. ε.	ἐντεῦθεν. δ.
κζ	ρκ. ρκα. ρκβ. ρκγ. ρκδ. ρκε.	ρκϛ. ρκζ. ρκη. ρκθ. ρλ. ρλα.
κη	ρλβ. ρλγ. ρλδ. ρλε.	ρλϛ. ρλζ. ρλη.
κθ	ρλθ. ρμ. ρμα.	ρμβ. ρμγ.
λ	ρμδ. ρμε. ρμϛ.	ρμζ. ρμη. ρμθ. ρν.

ΔΙΑΤΑΞΙΣ ΑΝΑΓΝΩΣΜΑ-

ΤΩΝ ΚΑΘ ΕΙΡΜΟΝ ΠΑΝ-

αγίων τῶν βιβλίων (νόσφι ψαλμῶν.)

Η Παλαιὰ διαθήκη ἐν ἀναγνώσει τῇ προτέρᾳ ἅπαξ κατ' ἔτος διανυσθήσεται ἐν ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐχαῖς, πλὴν ὑστερεῖσθαί τινα βιβλάρια καὶ κεφάλαια ἤγουν τὰ ἥκιστα πρὸς οἰκοδομὴν τετακότα.

Ἡ καινὴ διαθήκη ἐν τῇ δευτέρᾳ ἀναγνώσει ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐχαῖς παρεμβαλεῖται, καὶ τρὶς κατ' ἔτος ἀναπληρωθήσεται ἔξω ὅπισθεν ἐπιστολαῖς τε καὶ εὐαγγελίοις, χωρὶς Ἀποκαλύψεως ὅθεν τὰ δεῖνα ἴδια μὲν ἀναγνώσματα ἐνίαις ταῖς ἑορταῖς ἐξαίρεται.

Ἵνα δὲ γνοίης ἂν ἅπερ ἀναγνώσματα λεκτέον ἐστὶ, σκόπει τὴν ἐνεστῶσαν ἡμέραν ἐν τῷ μηνολογίῳ κἀκεῖθεν εὑρήσεις βιβλία καὶ κεφάλαια τὰ ἐν ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐχαῖς ἀναγνωσθῆναι καθεστῶτα.

Ἡνίκα πρὸς ἑορταῖς ἤτοι ἀμετακινήτοις ἤδε συμμετακινήτοις ἅμα ἐν ταῖς κυριακαῖς ταῖς ἡμέραις οἱ ἴδιοι ψαλμοὶ καὶ ἰδιαίτερα τὰ ἀναγνώσματα τυγχάνει προσημμένα, εἶτα παρὰ τὸν ἢ τὸν καιρὸν ἔνι ἐὰν τὰ ἐν καλενδαρίῳ ἐνδεδειγμένα.

Ἰστέον ὅτι κατὰ πᾶσαν ἑβδομάδα ἑκάστοτε χρὴ ἀναλαμβάνειν τοιαύτην τὴν συλλογὴν, ἐπιστολήν τε καὶ εὐαγγέλιον, ἅπερ ἐν τῇ χρείᾳ γέγονε προτέρᾳ ἐν τῇ κυριακῇ, πλὴν εἴ τις ἑορτὴ τὸ ἴδιον καθῆκον συμπέπτουσα ἴσως παρείη.

Ἐν τῷ δισέκτῳ ἢ ἐμβολιμαίῳ ὅταν εἰκόσῃ τρίτῃ ἡμέρᾳ τοῦ φεβρουαρίου ἔσται διδιχασμένη ἀμφοτέρα τοιοῦτον ἕξει τὸ κατόρθωμα.

Ὅπου ἐνδέχηται μὴ τρανοῦσθαι τὴν ἀρχὴν ἀναγνώσματος ἀπ' ἀρχῆς τοῦ κεφαλαίου, ὅπου δὲ καὶ τὸ πέρας ἀναγνώσματος μὴ σημαίνηται ἐκεῖ μέχρι τοῦ τέλους, ἀναγνωστέον.,

Ὁσάκις προστέθειται τὸ πρῶτον κεφάλαιον Εὐαγγελίου κατὰ Ματθαῖον ἀναγνωστέον, ἀπὸ ταύτης τῆς ῥήσεως ἀρκτέον ἐστὶ. τοῦ δὲ Ἰησοῦ γέννησις οὕτως ἦν· καὶ τρίτον κεφάλαιον Εὐαγγελίου κατὰ Λουκᾶν ἀναγνωσθήσεται μέχρι τούτου ῥησειδίου· ὢν ὡς ἐνομίζετο υἱὸς Ἰωσήφ.

ΔΕΙ

ΔΕΙ ΤΑΣ ΕΞΗΣ ΗΜΕΡΑΣ

ΕΝ ΤΩ ΕΟΡΤΑΖΕΣΘΑΙ ΠΑΡΑΤΗ-ρεῖν καὶ μή πως ἄλλας.

ΔΗ'πουθεν πάσας ἡμέρας Κυριακὰς ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

Ἡμέρας ἑορτῶν Περιτομῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐπιφανίων.

Καθαρισμοῦ μακαρίας τῆς Παρθένου.

Ἁγίου Ματθίου Ἀποστόλου.

Ἀναγγελίας μακαρίας τῆς Παρθένου.

Ἁγίου Μάρκου Εὐαγγελιστοῦ.

Ἁγίων Φιλίππου καὶ Ἰακώβου Ἀποστόλων.

Ἀναβάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Γεννήσεως Ἰωάννου τοῦ Βαπτιστοῦ.

Ἁγίου Πέτρου Ἀποστόλου.

Ἁγίου Ἰακώβου Ἀποστόλου.

Ἁγίου Βαρθολομαίου Ἀποστόλου.

Ἁγίου Ματθαίου Εὐαγγελιστοῦ.

Ἁγίων Σίμωνος καὶ Ἰούδα Ἀποστόλων.

Πάντων τῶν Ἁγίων.

Ἁγίου Ἀνδρέου Ἀποστόλου.

Ἁγίου Θωμᾶ Ἀποστόλου.

Γενεθλίων τοῦ Κυρίου.

Ἁγίου Στεφάνου Πρωτομάρτυρος.

Ἁγίου Ἰωάννου Εὐαγγελιστοῦ.

Ἁγίων Ἀθώων Βρεφῶν.

Ἑβδομηκοστὴ	Πρὸ τοῦ Πάσχα	θ. 9.	Κυριακὴ λιτανειῶν	Ὀπίσω τοῦ Πάσχα	ε. 5.
Ἑξηκοστὴ		η. 8.	Πεντηκοστῆς ἤτοι Ἐπιφοιτήσεως Πνεύματος ἁγίου		ζ. 7.
Πεντηκοστὴ		ζ. 7.	Τῆς Τριάδος		η. 8.
Τεσσαρακοστὴ		ς. 6.			

Ἑβδομάδες.

ΨΑΛ-

ΨΑΛΜΟΙ ΙΔΙΑΙΤΕΡΟΙ ΕΠ
ΤΙΝΑΣ ΤΑΣ ΕΟΡΤΑΣΙ-
μοις ἡμέρας.

Ἐν εὐχαῖς ἑωθιναῖς.	Ἐν εὐχαῖς ἑσπεριναῖς.
Ἐν ἡμέρᾳ Γενεθλίων τοῦ Κυρίου ἡμῶν.	
Ψαλμ. { ιθ'. 19. μέ. 45. πέ. 85.	Ψαλμ. { πθ. 89. ρί. 110. ρκβ'. 132.
Ἐν ἡμέρᾳ τοῦ Πάσχα.	
Ψαλμ. { β'. 2. νζ. 57. ριά. 111.	Ψαλμ. { ριγ'. 113. ριδ'. 114 ριή. 118.
Ἐν ἡμέρᾳ τῆς Ἀναβάσεως.	
Ψαλμ. { ή. 8. ιέ. 15. κά. 21.	Ψαλμ. { κδ'. 24. ξή. 68. ρή. 108.
Ἐν ἡμέρᾳ τῆς Πεντηκοστῆς.	
Ψαλμ. { με. 45. μζ. 47.	Ψαλμ. { ρδ'. 104. ρμέ. 145.

ΑΝΑΓΝΩΣΜΑΤΑ ΤΑ ΙΔΙΑ
ΕΠΙ ΤΑΣ ΚΥΡΙΑΚΑΣ ΚΑΘ' ΟΛΟΝ

τὸν Ἐνιαυτὸν ἐν Ἑωθιναῖς τε καὶ Ἑσπεριναῖς
εὐχαῖς τὰ πρότερα καὶ ἀλλοτίποτε
τὰ ὕστερα.

Κυριακαὶ ἐν Παρουσίᾳ.	Ἑωθιναί.		Ἑσπεριναί.	
Πρώτη.	Ἡ Ζωή.	α.	Ἡ Ζωή.	β.
β.		ε.		κδ.
γ.		κε.		κϛ.
δ.		λ.		λβ.
¶ Κυριακαὶ μετὰ γενέθλια τοῦ Κυρίου.	Ἡ Ζωή.	λζ.	Ἡ Ζωή.	λη.
Πρώτη.		μα.		μβ.
β.				
¶ Κυριακαὶ μετὰ τὰ Ἐπιφάνια.	Ἡ Ζωή.	μδ.	Ἡ Ζωή.	με.
Πρώτη.		να.		νγ.
β.		νδ.		νϛ.
γ.		νζ.		νη.
δ.		νθ.		ξδ.
ε.				
Πρὸ Πάσχα { Ἑβδομηκοστή, Ἑξηκοστή, Πεντηκοστή, Τεσσαρακοστῆς }	Γένεσις.	α.	Γένεσις.	β.
		γ.		ϛ.
		ια.		ιβ.
Πρώτη.		ιθ.		κβ.
β.		κζ.		λδ.
γ.		λθ.		μβ.
δ.		μγ.		μα.
ε.	Ἔξοδος.	γ.	Ἔξοδος.	ε.
ϛ.		θ.		ι.
¶ Κυριακὴ τοῦ Πάσχα.	{ Ἔξοδος / Ῥωμ. }	ιβ. / ϛ.	{ Ἔξοδ. / Πράξ. }	ιδ. / β.

ΚΥΡΙ-

ΚΥΡΙΑΚΑΙ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

	Ἑωθιναὶ εὐχαί.	Ἑσπεριναὶ εὐχαί.
Πρώτη. β. γ. δ. ε.	Ἀειθμῶν. ις. κϛ. Δευτερονομίυ. δ. ϛ. η.	Ἀειθμῶν. κβ. κε. Δευτερονομίυ. ε. ζ. θ.
¶ Κυριακὴ μετὰ τὴν Ἀνάστασιν Κυρίου.	Δευτερ. ιβ.	ιγ.
¶ Πεντηκοστὴ μετὰ τὸ Πάσχα.	{ Δευτερ. ις. { Πραξ. ι. ἀνοίξας δὲ Πέτρ☉ τὸ σόμα.	{ Σοφίας α. { Πραξ. ιθ. Ἐγένετο δὲ ἐν τῷ Ἀπόλλω—μέχει, ὅτε δὲ ἐπληρώθη ταῦτα.
¶ Κυριακὴ τῆς Τριάδ☉.	Γενέσεως. ιη. Ματθαι. θ.	Ἰησοῦς Ναυῆ. α.

ΚΥΡΙΑΚΑΙ ΜΕΤΑ ΤΡΙΑΔΑ.

	Ἑωθιναί.	Ἑσπεριναί.
Πρώτη. β.	Ἰησοῦς Ναυῆ. ι. Κριτῶν. β.	Ἰησοῦς Ναυῆ. κϛ. Κριτῶν. ε.
γ. δ. ε.	α. Βασιλειῶν. β. ιβ. ιε.	α. Βασιλειῶν. γ. ιγ. ιζ.
ϛ.	β. Βασιλ. ιθ.	β Βασιλ. κα.

ΚΥΡΙΑ-

[illegible]	Ἑωθιναὶ εὐχαί.		Ἑσπεριναὶ εὐχαί.	
ζ.		κβ.		κδ.
η.	γ. Βασιλ.	ιγ.	γ. Βασιλ.	ιζ.
θ.		ιη.		ιθ.
ι.		κα.		κβ.
ια.	δ. Βασιλ.	ε.	δ. Βασιλ.	θ.
ιβ.		ι.		ιη.
ιγ.		ιθ.		κϛ.
ιδ.	Ἱερεμίου.	ε.	Ἱερεμίου.	κβ.
ιε.		λε.		λϛ.
ιϛ.	Ἰεζεκιήλ.	β.	Ἰεζεκιήλ.	ιδ.
ιζ.		ιϛ.		ιη.
ιη.		κ.		κδ.
ιθ.	Δανιήλ.	γ.	Δανιήλ.	ϛ.
κ.	Ἰωνᾶ.	β.	Μιχαι.	ϛ.
κα.	Ἀμβακούμ.	β.	Παροιμιῶν.	α.
κβ.	Παροιμιῶν.	β.		γ.
κγ.		ια.		ιβ.
κδ.		ιγ.		ιδ.
κε.		ιε.		ιϛ.
κϛ.		ιζ.		ιθ.

ΙΔΙΑ ΕΟΡΤΑΣΙΜΩΝ ΗΜΕΡΩΝ
Ἀναγνώσματα.

	Ἑωθιναί.		Ἑσπεριναί.	
Ἁγ. Ἀνδρέου Ἀποστόλου.	Παροιμ.	κ.	Παροιμ.	κα.
Ἁγ. Θωμᾶ Ἀποστόλου		κγ.		κδ.
ΓΕΝΕΘΛΙΩΝ Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ.	Ἠσαΐου θ. Λουκ. β. μέχρι, ἐν ἀνθρώποις εὐδοκία.		Ἠσαΐου. ζ. Τίτ. γ. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία.	

	Ἑωθινά.	Ἑσπερινά.
Ἁγ. Στεφάνου τοῦ Πρωτομάρτυρος.	Παροι. κη. Πράξ. ς. ζ. Στέφανος δὲ πλήρης πίστεως — μέχρι, ὡς δὲ ἐπληροῦτο αὐτοῦ.	Ἐκκλησ. δ. Πράξ. ζ. ὡς δὲ ἐπληροῦτο. μέχρι — ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου.
Ἁγ. Ἰωάννου τοῦ Εὐαγγελιστοῦ.	Ἐκκλησ. ε. Ἀποκαλ. α.	Ἐκκλησ. ς. Ἀποκαλ. κβ.
Ἁγ. Ἀθώων τῶν Βρεφῶν.	Ἱερεμ. λα.	Σοφίας. α.
Περιτομῆς τοῦ Κυρίου.	Γενεσ. ιζ. Ρωμ. β.	Δευτ. ι. Κολασ. β.
Ἑορτὴ τῶν Ἐπιφανίων.	Ἡσαΐου. μ. Λουκ. γ. μέχρι. ὡς ἐνομίζετο.	Ἡσαΐου. μθ. Ἰωάν. β. μετὰ τοῦτο κατέβη εἰς Καπερναούμ.
Ἐπιστροφῆς τοῦ Παύλου.	Σοφίας ε. Πράξ. κβ. ἤκουον δὲ αὐτοῦ.	Σοφίας. ς. Πράξ. κς.
Καθαρισμοῦ Μαρίας μακαρίας τῆς Παρθένου.	Σοφίας. θ.	Σοφίας. ιβ.
Ἁγ. Ματθίου Ἀποστόλου.	Σοφίας. ιθ.	Ἐκκλησ. α.
Ἀναγγελίας τῆς Θεοτοκίας.	Ἐκκλησ. β.	Ἐκκλησ. γ.
Τετάρτης πρὸ τοῦ Πάσχα.	Ὠσηέ. ιγ.	Ὠσηέ. ιδ.
Δείπνου Κυριακοῦ.	Δανιήλ. θ.	Ἱερεμ. λα.
Παρασκευῆς.	Γενέσεως. κβ.	Ἡσαΐου νγ.
Αἰγυπτίων τοῦ Πάσχα.	Ζαχαρ. θ.	Ἐξοδ. ιγ.

	Ἑωθιναί.	Ἑσπεριναί.
Ἑορτασίμου δευτέρας ἐν τῷ Πάσχα.	Ἐξόδου. ιϛ. Ματθ. κη.	Ἐξοδ. ιζ. Πραξ. ϛ.
Ἑορτασίμου τρίτης ἐν τῷ Πάσχα.	Ἐξόδου. κ. Λουκ. κδ. καὶ ἰδοὺ δύο ἐξ αὐτῶν.	Ἐξοδ. λβ. α Κορ. ιε.
Ἁγ. Μάρκου τοῦ Εὐαγγελιστοῦ.	Ἐκκλησιαστικοῦ. δ.	Ἐκκλησιαστικοῦ. ε.
Ἁγ. Φιλίππου καὶ Ἰακώβου Ἀποστόλων.	Ἐκκλησ. ζ.	θ.
Τῆς Ἀναβάσεως τοῦ Κυρίου.	Δευτερονομίου. ι.	δ. Βασιλ. β.
Ἑορτασίμης β. ἐν τῇ Πεντηκοστῇ.	Γενεσ. ια. α Κορινθ. ιβ.	Ἀριθμῶν. ια.
Ἑορτας. ϛ. ἐν τῇ Πεντηκοστῇ.	α. Βασιλειῶν. ιθ.	Δευτερ. λ.
Ἁγ. Βαρνάβα.	Ἐκκλησ. ι. Πραξ. ιδ.	Ἐκκλησ. ιβ. Πραξ. ιε. μετὰ δέ τινας ἡμέρας.
Ἁγ. Ἰωάννου τοῦ Βαπτιστοῦ.	Μαλαχ. γ. Ματθ. ιγ.	Μαλαχ. δ. Ματθ ιδ. καὶ ἀκούσας ὁ Ἰησοῦς.
Ἁγ. Πέτρου τοῦ Ἀποστόλου.	Ἐκκλη. λε. Πραξ. ϛ.	Ἐκκλησ. ιθ. Πραξ. δ.
Ἁγ. Ἰακώβου Ἀπο.	Ἐκκλη. κα.	Ἐκκλη. κβ.
Ἁγ. Βαρθολ. Ἀποσ.	κα.	λθ.
Ἁγ. Ματθαίου Εὐαγγελιστοῦ.	λε.	λη.
Τοῦ Μιχαὴλ καὶ Πάντων Ἀγγέλων.	λθ.	μδ.
Ἁγ. Λουκᾶ.	να.	Ἰώβ. α.
Ἁγ. Σίμωνος καὶ Ἰούδα.	Ἰώβ. κδ. κε.	μβ.
Πάντων τῶν Ἁγίων	Σοφίας. ϛ. Ἑβρ. ια. ιβ. εἰ παιδείαν ὑπομένετε.	Σοφίας. ε. Ἀποκα. ιθ. καὶ εἶδον ἕνα Ἄγγελον ἑστῶτα.

ΕΠΙ ΤΟ ΕΥΡΕΙΝ ΠΑΣΧΑ ΕΙΣ *αἰῶνας.*

	Α	Β	Γ	Δ	Ε	Ζ	Η
α	Απρ. ιθ.	ι	ια	ιβ	ϛ	ζ	η
β	Μαρ. κϛ.	κζ	κη	κθ	λ	λα	Απρ. α.
γ	Απρ. ιε.	ιζ	ιη	ιθ	κ	ιδ	ιε
δ	Απρ. θ.	γ	δ	ε	ϛ	ζ	η
ε	Μαρ. κϛ.	κζ	κ	κθ	κγ	κδ	κε
ϛ	Απρ. ιϛ.	ιζ	ια	ιβ	ιγ	ιδ	ιε
ζ	Απρ. β.	γ	δ	ε	ϛ	Μα. λα.	Απρ. α.
η	Απρ. κγ.	κδ	κα	ιθ	κ	κα	κβ
θ	Απρ. θ.	ι	ια	ιβ	ιγ	ιδ	η
ι	Απρ. β.	γ	Μα. κη	κθ	λ	λα	Απρ. α.
ια	Απρ. ιϛ.	ιζ	ιη	ιθ	ιγ	ιδ	ιε
ιβ	Απρ. θ.	ι	ια	ε	ϛ	ζ	η
ιγ	Μαρ. κϛ.	κζ	κη	κθ	λ	λα	κε
ιδ	Απρ. ιϛ.	ιζ	ιη	ιθ	ιγ	ιδ	ιε
ιε	Απρ. β.	γ	δ	ε	ϛ	ζ	η
ιϛ	Μαρ. κϛ.	κζ	κη	κβ	κγ	κδ	κε
ιζ	Απρ. ιϛ.	ι	ια	ιβ	ιγ	ιδ	ιε
ιη	Απρ. β.	γ	δ	ε	Μα. λ.	λα	Απρ. α.
ιθ	Απρ. κγ.	κδ	ιη	ιθ	κ	κα	κβ.

¶ Ἐξευρημένου γράμματος τοῦ Κυριακοῦ ἐν τῇ ἀκμῇ τοῦ πίνακος, εἰς τὸ κάτω διάθιωσε τὸν ὀφθαλμὸν, ἕως ἂν ἔλθῃς ἐπὶ τὸν πρυτας ἥκοντα τὸν ἀριθμὸν, καὶ ἐν τῇ Θέσεως γωνίᾳ ἐξιχνεύσεις ἡμέραν τοῦ μηνὸς ἐν ᾗ τὸ Πάσχα γενήσεται.

ΙΑΝΟΥΑΡΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος { Ἀνατέλλει / δύνει } ὥρᾳ { ζ. λεπτοῖς. ιβ. / δ. λεπτοῖς. μη. }

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. β.
1	α	Α	ΠΕΡΙΤΟΜΗ	Γεν. ιζ.	Ρωμ. β.	Δαν. ι.	Κολ. β.
2	β	Β	τοῦ ΚΥΡΙΟΥ.	Γεν. α.	Ματ. α.	Γεν. β.	Ρωμ. α
3	γ	Γ		γ	β	δ	β
4	δ	Δ		ε	γ	ϛ	γ
5	ε	Ε		ζ	δ	η	δ
6	ϛ	Ζ	ΕΠΙΦΑΝΙΑ.	Ἡσα. ξ	Λουκ. γ.	Ἡσα. μθ	Ἰωαν. β
7	ζ	Η		Γεν. θ.	Ματ. ε.	Γεν. ιβ.	Ρωμ. ε.
8	η	Α	Λουκιανοῦ	ιγ	ϛ	ιδ	ϛ
9	θ	Β		ιε	ζ	ιϛ	ζ
10	ι	Γ		ιζ	η	ιη	η
11	ια	Δ	Ἥλιος ἐν ὑδρο-	ιθ	θ	κ	θ
12	ιβ	Ε	χόῳ. Ἰλαρίου.	κα	ι	κβ	ι
13	ιγ	Ζ		κγ	ια	κδ	ια
14	ιδ	Η		κε	ιβ	κϛ	ιβ
15	ιε	Α		κζ	ιγ	κη	ιγ
16	ιϛ	Β		κθ	ιδ	λ	ιδ
17	ιζ	Γ		λα	ιε	λβ	ιε
18	ιη	Δ	Πρίσκης Παρθένου	λγ	ιϛ	λδ	ιϛ
19	ιθ	Ε		λε	ιζ	λζ	α Κορ. α
20	κ	Ζ	Φαβιανοῦ καὶ Σεβ.	λη	ιη	λθ	β
21	κα	Η	Ἀγνῆτος Παρ.	μ	ιθ	μα	γ
22	κβ	Α	Βινκεντίου Μάρτ.	μβ	κ	μγ	δ
23	κγ	Β		μδ	κα	με	ε
24	κδ	Γ	Νεσεία.	μϛ	κβ	μζ	ϛ
25	κε	Δ	Ἐπιστροφὴ τοῦ Παύλου.	Σοφ. ε.	Πρα. κβ	Σοφ. ϛ.	Πρα. κϛ
26	κϛ	Ε		Γεν. μη.	Ματ. κγ.	Γεν. μθ.	α Κορ. ζ
27	κζ	Ζ		ν	κδ	Ἐξοδ. α	η
28	κη	Η		Ἐξο. β.	κε	γ	θ
29	κθ	Α		δ	κϛ	ε	ι
30	λ	Β		ζ	κζ	η	ια
31	λα	Γ		θ	κη	ι	ιβ

ΦΕΒΡΤΑΡΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ κη.

Ἥλιος	Ἀνατέλλει	ὥρᾳ	ζ. λεπτοῖς. ιδ.	
	Δύει.		δ. λεπτοῖς. μς.	

¶ Ἑορτάσιμοι ἡμέραι.				Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα.		Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα.	
				α.	β.	α.	β.
1	α	Δ	Νηστεία	Ἐξο. ια.	Μαρκ. α	Ἐξ. ιβ	α Κορ. ιγ
2	β	Ε	ΚΑΘΑΡΙΣ. Μ.	Σοφ. θ.	β	Σοφ. ιβ.	ιγ
3	γ	Ζ	Βλασίου Ἐπισκ.	Ἐξο. ιγ.	ϛ	Ἐξο. ιδ.	ιε
4	δ	Η		ιε	δ	ιϛ	ιϛ
5	ε	Α	Ἀγαθῆς παρθένου κὴ Μαρτ.	ιζ	ε	ιη	β Κορ. α
6	ϛ	Β		ιθ	ϛ	κ	β
7	ζ	Γ		κα	ζ	κβ	γ
8	η	Δ		κϛ	η	κδ	δ
9	θ	Ε		λβ	θ	λγ.	ε
10	ι	Ζ		λθ	ι	Λευιτ. ια.	ϛ
11	ια	Η		Λευιτ. ιθ.	ια	κ	ζ
12	ιβ	Α	Ἥλιος ἐν Ἰχθ.	κϛ.	ιβ	Ἀριθ. ια	η
13	ιγ	Β		Ἀριθ. ιϛ	ιγ	ιγ	θ
14	ιδ	Γ	Οὐαλεντίνου ἐπ.	ιδ	ιδ	ιϛ	ι
15	ιε	Δ		ιζ	ιε	κ	ια
16	ιϛ	Ε		κα	ιϛ	κβ	ιβ
17	ιζ	Ζ		κϛ	Λουκ. ἡμ. α	κδ	ιγ
18	ιη	Η		κε	ἡμισ. α	κζ	Γαλα. α
19	ιθ	Α		λ	β	λα	β
20	κ	Β		λβ	γ	λε	γ
21	κα	Γ		λε	δ	Δευτ. α.	δ
22	κβ	Δ		Δευτ. β.	ε	γ	ε
23	κγ	Ε	Νηστεία.	β	ϛ	ε	ϛ
24	κδ	Ζ	ΑΓ. ΜΑΤΘΙΟΥ Ἀποστ.	Σοφ. ιθ	ζ	Ἐκκλ. α	Ἐφεσ. α
25	κε	Η		Δευτ. ϛ.	η	Δευτ. ζ.	β
26	κϛ	Α		η	θ	θ	γ
27	κζ	Β		ι	ι	ια	δ
28	κη	Γ		ιβ	ια	ιγ	ε

ΜΑΡΤΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος	Ἀνατέλλει	ὥρα	ϛ. λεπτοῖς. ιη.	
	δύνει		ε. λεπτοῖς. μβ.	

		Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. β.
1 α	Δ	Δαβίδ	Δευτ. ιϛ.	Λουκ. ιβ.	Δευτ. ιζ.	Ἑβρ. ϛ.
2 β	Ε	Κεάδδου Ἐπισκ.	ιη	ιγ	ιθ	Φιλ. α.
3 γ	Ζ		κ	ιδ	κα	β
4 δ	Η		κβ	ιε	κδ	γ
5 ε	Α		κε	ιϛ	κϛ	δ
6 ϛ	Β		κζ	ιζ	κη	Κολ. α.
7 ζ	Γ	Περπετούας.	κθ	ιη	λ	β
8 η	Δ		λα	ιθ	λβ	γ
9 θ	Ε		λγ	κ	λδ	δ
10 ι	Ζ		Ἰη. Να. α.	κα	Ἰη. Να. β.	α Θεσ. α
11 ια	Η	Ἥλιος ἐν Κριῷ	γ	κγ	δ	β
12 ιβ	Α	Γρηγορίου Ἐπισκ.	ε	κγ	ϛ	γ
13 ιγ	Β	Ῥώμ.	ζ	κδ	η	δ
14 ιδ	Γ		θ	Ἰωάν. α.	ι	ε
15 ιε	Δ		κγ	β	κδ	β Θεσ. α
16 ιϛ	Ε		Κριτ. α.	γ	Κριτ. β.	β
17 ιζ	Ζ		γ	δ	δ	γ
18 ιη	Η	Ἐδουάρδου Βασιλ.	ε	ε	ϛ	α Τιμ. α
19 ιθ	Α		ζ	ϛ	η	β. γ.
20 κ	Β		θ	ζ	ι	δ
21 κα	Γ	Βενεδίκτου Ἀββᾶ.	ια	η	ιβ	ε
22 κβ	Δ		ιγ	θ	ιδ	ϛ
23 κγ	Ε		ιε	ι	ιϛ	β Τιμ. α
24 κδ	Ζ	Νηστεία.	ιζ	ια	ιη	β
25 κε	Η	ΑΝΑΓΓΕΛΙΑΣ	Ἐκκλ. ϛ.	ιβ	Ἐκκλ. γ.	γ
26 κϛ	Α	τῆς ΜΑΡΙΑΣ.	Κριτ. ιθ.	ιγ	Κριτ. κ.	δ
27 κζ	Β	Εἴσοδος Βασ.	κα	ιδ	Ῥούθ. α.	Τίτ. α.
28 κη	Γ	ΚΑΡΟΛ.	Ῥούθ. β.	ιε	γ	β. γ
29 κθ	Δ		δ.	ιϛ	α. Βασ. α	Φιλήμ.
30 λ	Ε		α Βασ. β	ιζ	γ	Ἑβρ. α.
31 λα	Ζ		δ	ιη	ε	β

ΑΠΡΙΛΛΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ λ.

Ἥλιος { Ἀνατέλλει / Δύει } ὥρα { ζ. λεπτοῖς. ιε. / ς. λεπτοῖς. με. }

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.
1	α	Η		α Βασ. ς	Λκα. ιθ	α Βασ. ζ	Εβρ. γ.
2	β	Α		η	κ	θ	δ
3	γ	Β	Ῥιχάρδυ Ἐξομ.	ι	κα	ια	ε
4	δ	Γ	Ἀμβροσίυ Ἐπ.	ιβ	Πραξ. α	ιγ	ς
5	ε	Δ		ιδ	β	ιε	ζ
6	ς	Ε		ις	γ	ιζ	η
7	ζ	Ζ		ιη	δ	ιθ	θ
8	η	Η	Ἡγησίππυ καὶ Ἑταίρων.	κ	ε	κα	ι
9	θ	Α		κβ	ς	κγ	ια
10	ι	Β		κδ	ζ	κε	ιβ
11	ια	Γ		κς	η	κζ	ιγ
12	ιβ	Δ	Ἥλιος ἐν ταύρῳ	κη	θ	κθ	Ιακω α.
13	ιγ	Ε		λ	ι	λα	β
14	ιδ	Ζ		β Βασ. α	ια	β Βασ. β	γ
15	ιε	Η		γ	ιβ	δ	δ
16	ις	Α		ε	ιγ	ς	ε
17	ιζ	Β		ζ	ιδ	η	α. Πετ. α
18	ιη	Γ		θ	ιε	ι	β
19	ιθ	Δ	Ἀλφήγυ Μάρ.	ια	ις	ιβ	γ
20	κ	Ε		ιγ	ιζ	ιδ	δ
21	κα	Ζ		ιε	ιη	ις	ε
22	κβ	Η		ιζ	ιθ	ιη	β. Πετ. α
23	κγ	Α	Γεωργίυ Μάρτυ	ιθ	κ	κ	β
24	κδ	Β		κα	κα	κβ	γ
25	κε	Γ	ΜΑΡΚΟΥ ΕΥΑΓΓΕΛΙΣ.	Ἐκκλ. δ	κβ	Ἐκκλ. ε	α. Ιωα. α
26	κς	Δ		β Βα. κγ	κγ	β Βα. κδ	β
27	κζ	Ε		γ Βασ. α	κδ	γ Βασ. β	γ
28	κη	Ζ		γ	κε	δ	δ
29	κθ	Η		ε	κς	ς	ε
30	λ	Α	Νηστεία.	ζ	κζ	η	β. γ. Ιωα.

ΜΑΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος	Ἀνατέλλει / Δύνει	ὥρᾳ δ. λεπτοῖς. λϛ. / ζ. λεπτοῖς. κδ.

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.
1	α	Β	ΦΙΛΙΠΠΟΥ καὶ	Ἐκκλ. ζ.	Πραξ. η.	Ἐκκλ. ϛ	Ἰουδ. ἐπι.
2	β	Γ	ΙΑΚΩΒΟΥ.	γ Βασ. θ.	κη	γ. Βασ.	Ῥωμ. α.
3	γ	Δ		ια	Ματ. α.	ιβ	β
4	δ	Ε		ιγ	β	ιδ	γ
5	ε	Ζ		ιε	γ	ιϛ	δ
6	ϛ	Η	Ἰωάν. πρὸ πυ-	ιζ	δ	ιη	ε
7	ζ	Α	λῶν Λατ.	ιθ	ε	κ	ϛ
8	η	Β		κα	ϛ	κβ	ζ
9	θ	Γ		δ Βασ. α	ζ	δ. Βασ. β	η
10	ι	Δ		γ	η	δ	θ
11	ια	Ε		ε	θ	ϛ	ι
12	ιβ	Ζ	Ἥλιος ἐν Δι-	ζ	ι	η	ια
13	ιγ	Η	δύμοις.	θ	ια	ι	ιβ
14	ιδ	Α		ια	ιβ	ιβ	ιγ
15	ιε	Β		ιγ	ιγ	ιδ	ιδ
16	ιϛ	Γ		ιε	ιδ	ιϛ	ιε
17	ιζ	Δ		ιζ	ιε	ιη	ιϛ
18	ιη	Ε		ιθ	ιϛ	κ	Κορ. α
19	ιθ	Ζ	Δυνστάνου Ἐπισκ.	κα	ιζ	κβ	β
20	κ	Η		κγ	ιη	κδ	γ
21	κα	Α		κε	ιθ	α. Ἐσδ. β	δ
22	κβ	Β		α Ἐσδ. γ	κ	δ	ε
23	κγ	Γ		ε	κα	ϛ	[illegible]
24	κδ	Δ		ζ	κβ	θ	ζ
25	κε	Ε		β Ἐσδ. α	κγ	β. Ἐσδ. β.	η
26	κϛ	Ζ		δ	κδ	ε	θ
27	κζ	Η	Βήδου Πρεσβύτ.	ϛ	κε	η	ι
28	κη	Α		θ	κϛ	ι	ια
29	κθ	Β		ιγ	κζ	Ἐσθήρ. α.	ιβ
30	λ	Γ		Ἐσθήρ. β.	κη	γ	ιγ
31	λα	Δ		δ	Μαρ. α.	ε	ιδ

ΙΟΥΝΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λ.

Ἥλιος { Ἀνατέλλει / Δύνει. } ὥρᾳ { γ. Λεπτοῖς. λδ. / η. Λεπτοῖς. κϛ.

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.
1	α	Ε		Ἐφέσ.ϛ.	Μαρκ.β.	Ἐφέσ.ζ.	α.Κορ.ια
2	β	Ζ		η	γ	θ	ιϛ
3	γ	Η	Νικομήδους Μα	Γωβ.α.	δ	Γωβ.β.	Κορ.α
4	δ	Α		ϛ	ε	δ	β
5	ε	Β	Βονιφακίου Ἐπ.	ε	ϛ	ϛ	γ
6	ϛ	Γ	Ρωμαι.	ζ	ζ	η	δ
7	ζ	Δ		θ	η	ι	ε
8	η	Ε		ια	θ	ιβ	ϛ
9	θ	Ζ		ιϛ	ι	ιδ	ζ
10	ι	Η		ιε	ια	ιϛ	η
11	ια	Α	Βαρνάβα Ἀπο.	Ἐκκλ.ι.	Παραξ.δ	Ἐκκλ.ιϛ	Ἰερε.ια.
12	ιβ	Β	Ἥλιος ἐν Καρ-	Γωβ.ιζ.ιι	Μαρ.ιβ	Γωβ.θ	Κορ.θ.
13	ιγ	Γ	κίνῳ.	κ	ιγ	κα	ι
14	ιδ	Δ		κβ	ιδ	κγ	ια
15	ιε	Ε	Βίτου καὶ Μοδέσου.	λδ.κε.	ε	κϛ.κζ.	ιβ
16	ιϛ	Ζ		κη	ιϛ	κθ	ιϛ
17	ιζ	Η		λ	Λουκ. α.	λα	Γαλα. α.
18	ιη	Α		λβ	β	λγ	β
19	ιθ	Β		λδ	γ	λε	ϛ
20	κ	Γ	Ἐδουάρδου Βασ.	λϛ	δ	λζ	δ
21	κα	Δ		λη	ε	λθ	ε
22	κβ	Ε		μ	ϛ	μα	ϛ
23	κγ	Ζ	Νηστεία.	μβ	ζ	Παρο.α	Ἐφεσ.α
24	κδ	Η	Γενέθλια ΙΩΑΝ.	Μαλα.ϛ	Ματθ.ϛ.	Μαλα.δ	Ματθ.ιδ
25	κε	Α	ΒΑΠΤ.	Παρο.β.	Λουκ.η.	Παρο.γ	Ἐφεσ.β.
26	κϛ	Β		δ	θ	ε	γ
27	κζ	Γ		ϛ	ι	ζ	δ
28	κη	Δ	Νηστεία.	η	ια	θ	ε
29	κθ	Ε	ΠΕΤΡΟΥ Α-	Ἐκκλ.ια	Παραξ.ϛ.	Ἐκκλ.ιβ	Ἰερεξ.δ.
30	λ	Ζ	ΠΟΣΤ.	Παρο.ι.	Λουκ.ιβ.	Παρο.ια	Ἐφεσ.ϛ.

ΙΟΥΛΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος	Ἀνατέλλει	ὥρᾳ	δ. λεπτοῖς. λδ.
	Δύνει.		ζ. λεπτοῖς. κϛ.

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.
1	α	Η	Ἐπίσκεψις	Παρ. ιβ	Λουκ. ιγ	Παρ. ιγ.	Φιλιπ. α
2	β	Α	Μαρ. Παρθένου.	ιδ	ιδ	ιε	β
3	γ	Β	Μαρτίνου.	ιϛ	ιε	ιζ	γ
4	δ	Γ		ιη	ιϛ	ιθ	δ
5	ε	Δ		κ	ιζ	κα	Κολ. α.
6	ϛ	Ε	Ἡμέραι Κυνικαί	κβ	ιη	κγ	β
7	ζ	Ζ		κδ	ιθ	κε	γ
8	η	Η		κϛ	κ	κζ	δ
9	θ	Α		κη	κα	κθ	α Θεσ. α
10	ι	Β		λα	κβ	Ἐκκλ. α	β
11	ια	Γ		Ἐκκλ. β	κγ	γ	γ
12	ιβ	Δ	Ἥλιος ἐν Λέοντι.	δ	κδ	ε	δ
13	ιγ	Ε		ϛ	Ἰωα. α.	ζ	ε
14	ιδ	Ζ		η	β	θ	α Θεσ. α
15	ιε	Η	Σουιθίνου καὶ ἑταίρ.	ι	γ	ια	β
16	ιϛ	Α		ιβ	δ	Ἱερε. α.	γ
17	ιζ	Β		Ἱερεμ. β	ε	γ	α Τιμ. α.
18	ιη	Γ		δ	ϛ	ε	β. γ.
19	ιθ	Δ		ϛ	ζ	ζ	δ
20	κ	Ε		η	η	θ	ε
21	κα	Ζ		ι	θ	ια	ϛ
22	κβ	Η	Μαργαρείτ. Παρ.	ιβ	ι	ιγ	β Τιμ. α
23	κγ	Α		ιδ	ια	ιε	β
24	κδ	Β	Νηστεία.	ιϛ	ιβ	ιζ	γ
25	κε	Γ	ΙΑΚΩΒ. ΑΠΟ.	Ἐκκ. κα	ιγ	Ἐκκ. κγ.	δ
26	κϛ	Δ	Ἄννης μητρὸς Μαρ.	Ἱερε. ιη.	ιδ	Ἱερε. ιθ	Τιτ. α.
27	κζ	Ε		κ	ιε	κα	β. γ.
28	κη	Ζ		κβ	ιϛ	κγ	Φιλημ.
29	κθ	Η		κδ	ιζ	κε	Ἑβρ. α.
30	λ	Α		κϛ	ιη	κζ	β
31	λα	Β		κη	ιθ	κθ	γ

ΑΥΓΟΥΣΤΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος { Ἀνατέλλει / Δύνει } ὥρα { δ΄. λεπτοῖς. λδ΄. / ζ΄. λεπτοῖς. κϛ΄.

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. β.
1	α	Γ	Πέτρου τὰ δε-	Ἱερε. λ.	Ἰωάν. κ	Ἱερε. λα.	Ἑβρ. δ
2	β	Δ	σμά.	λβ	κα	λγ	ε
3	γ	Ε		λδ	Πράξ. α	λε	ϛ
4	δ	Ζ		λϛ	β	λζ	ζ
5	ε	Η		λη	γ	λθ	η
6	ϛ	Α	Μετασχηματι-	μ	δ	μα	θ
7	ζ	Β	σμὸς Κυρίου.	μβ	ε	μγ	ι
8	η	Γ		μδ	ϛ	με. μϛ.	ια
9	θ	Δ		μζ	ζ	μη	ιβ
10	ι	Ε	Λαυρεντίου Μαρ.	μθ	η	ν	ιγ
11	ια	Ζ		να	θ	νβ	Ἰακώβ. α
12	ιβ	Η	Ἥλιος ἐν Παρ-	Θρη. α.	ι	Θρην. β.	β
13	ιγ	Α	θένῳ.	γ	ια	δ	γ
14	ιδ	Β		ε	ιβ	Ἰεζεκ. β	δ
15	ιε	Γ		Ἰεζ. γ.	ιγ	ϛ	ε
16	ιϛ	Δ		ζ	ιδ	ιγ	α. Πετ. α.
17	ιζ	Ε		ιδ	ιε	ιη	β
18	ιη	Ζ	Ἀγαπητοῦ Μάρ.	λγ	ιϛ	λδ	γ
19	ιθ	Η		Δαν. α.	ιζ	Δαν. β.	δ
20	κ	Α		γ	ιη	δ	ε
21	κα	Β	Βερνάρδου Ἐξομ.	ε	ιθ	ϛ	β. Πετ. α.
22	κβ	Γ		ζ	κ	η	β
23	κγ	Δ	Νηστεία.	θ	κα	ι	γ
24	κδ	Ε	ΒΑΡΘΟΛΟΜ.	Ἐκκ. κε	κβ	Ἐκκ. κθ.	α Ἰωά. α
25	κε	Ζ	ΑΠΟΣΤ.	Δαν. ια	κγ	Δαν. ιβ.	β
26	κϛ	Η		ιγ	κδ	ιδ	γ
27	κζ	Α		Ὠσηέ. α	κε	Ὠσηέ. β. γ.	δ
28	κη	Β	Αὐγουστίνου Ἐπ.	δ	κϛ	ε. ϛ	ε
28	κθ	Γ	Ἀποκεφαλισμὸς	ζ	κζ	η	β. γ. Ἰωάν.
30	λ	Δ	Ἰωάννου.	θ	κη	ι	Ἰούδ.
31	λα	Ε		ια	Ματ. α.	ιβ	Ῥωμ. α.

ΣΕΠΤΕΜΒΡΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ λ.

Ἥλιος { Ἀνατέλλει / Δύνει } ὥρᾳ { ε. λεπτοῖς λϛ. / ϛ. λεπτοῖς κδ. }

			¶ Ἑορτάσιμοι ἡμέραι.	Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.
1	α	Ζ	Αἰγιδίου Ἀββᾶ.	Ὠσηέ. ιγ	Ματ. β.	Ὠσηέ. ιδ.	Ῥωμ. β.
2	β	Η		Ἰωήλ. α	γ	Ἰωήλ. β.	γ
3	γ	Α		γ	δ	Ἀμώς. α.	δ
4	δ	Β		Ἀμώς. β	ε	γ	ε
5	ε	Γ	Παύονται Κυριακ.	δ	ϛ	ε	ϛ
6	ϛ	Δ	ἡμέραι.	ϛ	ζ	ζ	ζ
7	ζ	Ε		η	η	θ	η
8	η	Ζ	Γενέθ. Μαρίας	Ὀβδίου. α	θ	Ἰωνᾶ. α.	θ
9	θ	Η	Παρθ.	Ἰωνᾶ β. γ.	ι	δ	ι
10	ι	Α		Μιχαι. α	ια	Μιχαι. β	ια
11	ια	Β		γ	ιβ	δ	ιβ
12	ιβ	Γ	Ἥλιος ἐν Ζυγῷ.	ε	ιγ	ϛ	ιγ
13	ιγ	Δ		ζ	ιδ	Ναούμ. α.	ιδ
14	ιδ	Ε		Ναούμ. β	ιε	γ	ιε
15	ιε	Ζ		Ἀμβα. α	ιϛ	Ἀμβα. β	ιϛ
16	ιϛ	Η		γ	ιζ	Σοφον. α.	α Κορ. α
17	ιζ	Α	Λαμβέρτου Ἐπ.	Σοφον. β	ιη	γ	β
18	ιη	Β		Ἀγγα. α.	ιθ	Ἀγγα. β	γ
19	ιθ	Γ	Νηστεία.	Ζαχαρ. α	κ	Ζαχ. β. γ	δ
20	κ	Δ	ΜΑΤΘΑΙΟΥ	δ. ε.	κα	ϛ	ε
21	κα	Ε	ΑΠΟΣΤ.	Ἐκκλ. λε	κβ	Ἐκκλ. λη.	ϛ
22	κβ	Ζ		Ζαχαρ. ζ	κγ	Ζαχ. η.	ζ
23	κγ	Η		θ	κδ	ι	η
24	κδ	Α		ια	κε	ιβ	θ
25	κε	Β	Κυπριανοῦ καὶ Ἰου.	ιγ	κϛ	ιδ	ι
26	κϛ	Γ		Μαλ. α.	κζ	Μαλ. β.	ια
27	κζ	Δ		γ	κη	δ	ιβ
28	κη	Ε	ΜΙΧΑΗΛ	Τωβί. α.	Μαρκ. α.	Τωβ. β.	ιγ
29	κθ	Ζ	ΑΡΧΑΓΓΕΛ.	Ἐκκλ. λθ	β	Ἐκκ. μδ	ιδ
30	λ	Η	Ἱερωνύμου Πρε.	Τωβί. γ	γ	Τωβ. δ.	ιε

ΟΚΤΩΒΡΙΟΣ ΕΧΕΙ ΗΜΕΡΑΣ. λα.

Ἥλιος { Ἀνατέλλει / Δύνει. } ὥρᾳ { ε. Λεπτοῖς. ιε. / ς. Λεπτοῖς. δ. }

¶ Ἑορτάσιμοι ἡμέραι.				Ἑωθιναὶ εὐχαί. Ἀνάγνωσμα. α.	β.	Ἑσπεριναὶ εὐχαί. Ἀνάγνωσμα. α	β.
1	α	Α	Ῥημιγίου καὶ Βα.	Τωβ. ε.	Ματ. δ.	Τωβ. ς.	α Κορ. ι.
2	β	Β		ζ	ε	η	β Κορ. α
3	γ	Γ		θ	ς	ι	β
4	δ	Δ		ια	ζ	ιβ	γ
5	ε	Ε		ιγ	η	ιδ	δ
6	ς	Ζ	Φίδεως Παρθέν.	Ιουδίθ. α	θ	Ιουδίθ. β.	ε
7	ζ	Η		γ	ι	δ	ς
8	η	Α		ε	ια	ς	ζ
9	θ	Β		ζ	ιβ	η	η
10	ι	Γ		θ	ιγ	ι	θ
11	ια	Δ		ια	ιδ	ιβ	ι
12	ιβ	Ε	Ἥλιος ἐν Σκορ.	ιγ	ιε	ιδ	ια
13	ιγ	Ζ	Ἐδουάρδου Βασ.	ιε	ις	ις	ιβ
14	ιδ	Η		Σοφία. α	Λουκ. α.	Σοφίας. β	ιγ
15	ιε	Α		γ	ἥμισ. α.	δ	Γαλ. α.
16	ις	Β		ε	β	ς	β
17	ιζ	Γ	Ἐθελρέδης Παρ.	ζ	γ	η	γ
18	ιη	Δ	ΛΟΥΚΑ Εὐαγ.	Ἐκκλ. λε	δ	Ἰωβ. α.	δ
19	ιθ	Ε		Σοφι. θ.	ε	Σοφι. ι.	ε
20	κ	Ζ		ια	ς	ιβ	ς
21	κα	Η		ιγ	ζ	ιδ	Ἐφεσ. α
22	κβ	Α		ιε	η	ις	β
23	κγ	Β		ις	θ	ιη	γ
24	κδ	Γ		ιθ	ι	Ἐκκλησ. α	δ
25	κε	Δ	Κρισπίνου καὶ Κρι.	Ἐκκλ. β.	ια	γ	ε
26	κς	Ε		δ	ιβ	ε	ς
27	κζ	Ζ	Νηστεία.	ς	ιγ	ζ	Φιλ. α.
28	κη	Η	ΣΙΜΩΝΟΣ	Ἰω. κδ. κε	ιδ	Ἰωβ. μβ.	β
29	κθ	Α	καὶ ΙΟΥΔΑ.	Ἐκκλ. η.	ιε	Ἐκκλ. θ.	γ
30	λ.	Β		ι	ις	ια	δ
31	λα	Γ	Νηστεία.	ιβ	ιζ	ιγ	Κολ. α.

Η ΒΙΒΛΟΣ ΔΗΜΟΣΙΩΝ
ΕΥΧΩΝ ΚΑΙ ΔΙΑΚΟΝΗΣΕΩΣ
παναγίων τῶν μυστηρίων.

¶ Διάταξις ὅπου ἑωθιναί τε καὶ ἑσπεριναὶ εὐχαὶ ἀσκηθήσονται καὶ λεχθήσονται.

¶ "Ὁ ὄρθριος καὶ δείλινος εὐχὴ τελειωθήσεται ἐν εἰθισμένῳ τοῦ νεὼ, βασιλικῆς ἢ ἱερατείου τόπῳ, εἰ μὴ ἄλλη πῃ διὰ τοῦ Ἐπισκόπου τουτουὶ τοῦ χώρου διαψηφισθῇ, καὶ τὰ δρύφακτα κατὰ τὸ πάλαι παραμενεῖ.

"Ὧδε δὲ παρατηρητέον, ὅτι ὁ Διάκονος ἐν καιρῷ παναγίας τῆς συνάξεως, καὶ ἄλλοτε ὑπηρετήσας κοσμήμασι τοῖς κατ' ἐξουσίαν τοῦ Παρλιαμέντου ἐν δευτέρῳ βασιλείας ἐνιαυτῷ Ἐδουάρδου ἕκτου τοῦ ἄνακτος εἰωθόσι, ἐν τῷ ναῷ χρήσεται, καθὼς ἐν ψηφίσματι ταύτῃ τῇ βίβλῳ παρηρτημένῳ βεβούλευται.

¶ Τὰ τυπικὰ τῶν εἰς ὄρθρον εὐχῶν, ὁσημέραι κατ' ἔτος.

¶ "Ὁ Διάκονος ἐξ ἀρχῆς εὐχῶν ἑωθινῶν τε καὶ ἑσπερινῶν ἐμφώνως ἕν τι τῶν ἑξῆς ῥητειδίων ἀναγνώσει· εἶτα δὲ ἅπερ ἐπιφέρεται τούτοις ἀγορεύσει.

Εἰ ὁ ἄνομος μετανοήσει ἀπὸ πασῶν ἁμαρτιῶν αὐτοῦ ὧν εἰργάσατο, καὶ φυλάξει πάσας τὰς ἐντολάς μου, καὶ ποιήσει κρίσιν καὶ δικαιοσύνην, ζωῇ ζήσεται καὶ οὐ τεθνήξεται, πασῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησεν οὐ μνησθήσομαι· φησὶν ὁ Κύριος.

Τὴν ἀνομίαν μου γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς μὴ ἐξουδενώσῃς.

Διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστρέψατε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι πρᾶος καὶ οἰκτίρμων ἐστί, μακρόθυμος, καὶ πολυέλεος, ὁ μετανοῶν ἐπὶ τοῖς κακοῖς ὑμῶν.

Σοὶ Κυρίῳ τῷ Θεῷ ἡμῶν οἱ

οἰκτιρμοὶ καὶ οἱ ἱλασμοί. ὅτι ἀπέστημεν ἀπὸ σοῦ, καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν πορεύεσθαι ἐν τῷ νόμῳ αὐτοῦ.

Παίδευσον ἡμᾶς Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν τῷ θυμῷ σου, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς.

Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ, Πάτερ, ἥμαρτον εἰς οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.

Ἡ Ἁγία γραφὴ (ἀδελφοὶ κεχαρισμένως ἀγαπητοί) διαφόροις ἡμᾶς τόποις πρὸς τὸ πολλαπλασίας ἡμῶν ἁμαρτίας καὶ ἀγνωμοσύνας ἐπιγνῶναί τε καὶ ἐξομολογεῖσθαι προτρέπεται, καὶ μὴ ἐνώπιον Θεοῦ τοῦ παντοκράτορος Πατρὸς ἡμῶν ἐπουρανίου ὑποκρίζεσθαι ἢ περιστέλλειν· ἀλλὰ ταπεινόφρονι, κατηφεῖ, μετανοούσῃ τε καὶ πειθαρχούσῃ τῇ καρδίᾳ ἐξαγορεύειν, ἐφ' ᾧ παρ' ἀπείρου τῆς χρηστότητος καὶ φιλανθρωπίας αὐτοῦ συγγνώμης ἐπιτυχεῖν, κἂν ἡμέτερον ἐστὶ παντηπάντως τὰ ἁμαρτηθέντα ἔμπροσθεν Θεοῦ ἐπαληθεύοντας γνωρίζεσθαι, οὐχ ἥκιστα δὲ προσῆκόν ἐστι συνειλεγμένοις ἡμῖν καὶ συναχθεῖσι τοῦτο ποιουμένοις διατελεῖν· δηλαδὴ ἀποδοῦναι χάριν διὰ μεγαλεῖα τῶν εὐεργετημάτων ἀπὸ χειρὸς αὐτοῦ παραληφθέντα, εἶτα δὲ δημοσιεύειν αὐτῆς συμπρεπούσας τὴν δόξαν, ἁγιωτάτων αὐτοῦ θεσπισμάτων ἐπακοῦσαι, ἔτι δὲ ἅτε σώματι, ἅτε ψυχῇ ἀναγκαῖά τε καὶ συμφέροντα ἐπαιτῆσαι. διόπερ ἀντιβολοῦμαι καὶ παρακαλῶ ὑμᾶς τοὺς ἐνταῦθα παραγινομένους, εἰλικρινεῖ τῇ καρδίᾳ τε καὶ ταπεινῇ τῇ φωνῇ, πρὸς τὸν τῆς ἐπουρανίου χάριτος θρόνον ὑφηγουμένῳ μοι συμπαρακολουθεῖν.

¶ " Γενικὴ ἐξομολόγησις ἣν μετὰ " τὸν Διάκονον δεῖ σύμπαντα τὸν " ὅμιλον ὀκλάζοντα λέγειν.

ΠΑντοκράτωρ καὶ ἐλεημονέστατε Πάτερ, ὡς πρόβατα ἀπολωλότα ἐπλανήθημεν, καὶ τῶν ὁδῶν σου ἡμάρτομεν, μηχανήμασι καὶ ἐπιθυμίαις ὑμετέρων αὐτῶν καρδιῶν ἄγαν ἐτρυφήσαμεν, παναγίοις τοῖς νόμοις σου προσεκρούσαμεν, τὰ δέοντα πράττειν [ἀφοσιούμενοι] παρήκαμεν, καὶ τὰ μὴ δέοντα μὲν [ἀπειργασμένοι] προσήκαμεν, καὶ οὐκ ἔστιν ἐν ἡμῖν οὔτ' οὐδεμία ἡ σωτηρία, σὺ δὲ Κύριε ἵλεως ἴσθι ἡμῖν ἐπιτρίπτοις οὖσιν ἁμαρτωλοῖς, φεῖσαι τὰ ἑαυτῶν παραπτώματα ὁμολογούντων, ἀποκατάστασαι τοὺς μετανοοῦντας κατὰ τὰ ὑποσχεθέντα σου εἰς γένος ἀνθρώπειον ἀποκεκαλυμμένα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, καὶ παράσχου ἡμῖν, ὦ Πάτερ εὐσπλαγχνότατε, αὐτοῦ τούτου ἕνεκεν, ὥστε τοῦ ἀπολοίπου δὲ εὐσεβῆ, δίκαιον, καὶ σώφρονα βίον βιῶναι εἰς παναγίου τοῦ ὀνόματός σου δόξαν. Ἀμήν.

¶ " Ἀπόλυσις ἢ ἄφεσις ἁμαρτιῶν, " ἣν ὁ Διάκονος μόνος ἐκφω" νεῖ.

Παντοκ-

ΠΑντοκράτωρ Θεὸς, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ ἵνα ἀποστρέψῃ ἐκ τῶν πονηρῶν αὐτοῦ ἐθῶν, καὶ ζήσηται, καὶ δὴ καὶ ὁ δοὺς ἐξουσίαν καὶ πρόσταγμα τοῖς αὐτοῦ Διακόνοις τὸ τὴν ἀπόλυσιν καὶ ἄφεσιν ἁμαρτιῶν τῷ λαῷ αὐτοῦ μετανοοῦντι ἀνακηρύττειν τε καὶ ἐξαγγέλλειν· Ἐκεῖνος ἅπαντι τῷ ὄντως μετανοήσαντι, καὶ τῷ ἱερῷ εὐαγγελίῳ ἀνυποκρίτως πεποιθότι, συγγινώσκει τε καὶ ἀποψηφίζεται. Τοιγὰρ ἱκετεύομεν αὐτὸν ἀληθινὴν τὴν μετάνοιαν, καὶ Πνεῦμα τὸ ἅγιον ἡμῖν ἐπιδαψιλεῦσαι, ὥστε ὅσα τούτῳ τῷ παρόντι τυγχάνομεν διαπράξαντες εὐάρεστα αὐτῷ εἶναι, καὶ τὸν ὑπόλοιπον τοῦ νῦν βίου χρόνον καθαρὸν ἄπαρτι καὶ εὐσεβῆ διαπερᾶν, ἐφ' ᾧ εἰς τοὔσχατον αἰωνίου χαρᾶς ἀπολαύειν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ “ Εἶτα ὁ Διάκονος ἐξακούσῃ τῇ
“ φωνῇ ἄρξεται προσευχῆς τῆς
“ Κυριακῆς.

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μετὰ ταῦτα λέξει.

Κύριε ἀνοίξεις ἡμῶν τὰ χείλη.

Ἀπόκρισις.

Καὶ τὸ ἡμῶν στόμα ἀναγγελεῖ σου τὴν αἴνεσιν.

Διάκονος.

Ὁ Θεὸς εἰς τὴν βοήθειαν ἡμῶν πρόσχες.

Ἀπόκρισις.

Κύριε εἰς τὸ βοηθῆσαι ἡμῖν σπεῦσον.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι ἁγίῳ.

Ὡς ἦν ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ “ Εἶτα λεχθήσεται, ἢ ᾀσθήσε-
“ ται ὁ ἑξῆς ψαλμός.

Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστίν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ.

Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου.

Τεσσαράκοντα ἔτη προσώχθισα

τῇ γενεᾷ ἐκείνῃ· καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Δόξα Πατρὶ καὶ Υἱῷ. } καὶ τὰ ἑξῆς.
ὡς ἦν ἐν ἀρχῇ. }

¶ “ Μετέπειτα οἱ ἐν τῷ πίνακι
“ τῷ ἐξ ἐπιτηδοὺς πεποιημένῳ
“ προσταχθέντες ψαλμοὶ ἐπι-
“ κολουθήσονται, πλὴν εἰ ἰδιαί-
“ τεροι ἐπὶ ταύτην τὴν ἡμέραν
“ καταστῶσι. Τελευτήσαν-
“ τος δὲ ἑνὸς ἑκάστου τῶν ψαλ-
“ μῶν τε καὶ ὕμνων, ἤγουν, τοῦ
“ Εὐλογητὸς, τοῦτε Εὐλογεῖτε,
“ τοῦτε Μεγαλύνει, τοῦτε Νῦν
“ ἀπολύεις, ὁσάκις ἀναποληθή-
“ σεται Δόξα Πατρὶ, καὶ Υἱῷ.
“ ὡς ἦν ἐν ἀρχῇ. Καὶ τὰ ἑξῆς.
“ Τότε διπλᾶ τὰ ἀναγνώσματα
“ γεγωνῶς καὶ διωρισμένως λεχ-
“ θήσεται· πρότερον μὲν ἐκ πα-
“ λαιᾶς, ὕστερον δὲ ἐκ καινῆς τῆς
“ Διαθήκης, καθάπερ ἐν τῷ
“ Καλανδαρίῳ ἐπιτέτακται, εἰ μὴ
“ ἕτερα τὰ ἀναγνώσματα ἴδια
“ προσετεθῇ.

¶ “ Ὁ Διάκονος λεξάμενος
“ τὴν ἀνάγνωσιν, οὕτω τετραμμέ-
“ νος τὸ πρόσωπον στήσει ὡς
“ ῥᾷόν ἐστι τοὺς παρόντας ἀκρο-
“ ᾶσθαι. Ἀρχόμενος δὲ τῆς ἀνα-
“ γνώσεως τόνδε τρόπον ἐρεῖ ὁ
“ Διάκονος· Πρῶτον, δεύτερον,
“ τρίτον τὸ κεφάλαιον Γενέσεως,
“ Ἐξόδου, καὶ τὰ λοιπά, καθὼς
“ παραγέγραπται ἐν τῷ Μηνο-
“ λογίῳ. λήξαντος δὲ τοῦ κε-
“ φαλαίου φράσει ὧδε ἐπεραί-
“ νεται τὸ δεῖνα κεφάλαιον τοι-
“ ᾶσδε βίβλου.

¶ “ Ἵνα δὲ ὁ λαὸς μᾶλλον ἐπι-
“ τηδείως ἐνωτίσαι δυνηθῇ,
“ ὅσοις μέν τοι ἔθος ἐστὶν ᾄδειν,
“ ἐκεῖ τὰ ἀναγνώσματα ἐν
“ σαφεῖ τινι τρανωδίᾳ ἀνὰ μέ-
“ ρος τοῦ ἀναγνῶναι διωρισ-
“ μένως ᾀσθήσεται. Ὡσαύτως
“ δὴ καὶ αἱ ἐπιστολαί τε καὶ
“ εὐαγγέλια.

¶ “ Παυσαμένης δὲ τῆς προτέρας
“ ἀναγνώσεως, ἐπισυναφθήσε-
“ ται ὁ ἑξῆς ὕμνος, Σὲ Θεόν.

ΣΕ Θεὸν ὑμνοῦμεν, σὲ τὸν Κύριον ὁμολογοῦμεν.

Σὲ τὸν αἰώνιον Πατέρα πᾶσα ἡ γῆ σέβεται.

Σοὶ πάντες Ἄγγελοι, σοὶ οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ δυνάμεις.

Σοὶ τὰ Χερουβὶν καὶ Σεραφὶμ ἀκαταπαύστῳ φωνῇ ἐκβοῶσιν.

Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεὸς Σαβαώθ.

Πλήρεις οἱ οὐρανοὶ καὶ ἡ γῆ τῆς σῆς δόξης μεγαλειότητος.

Σὲ ὁ ἔνδοξος τῶν Ἀποστόλων χορός.

Σὲ ὁ τῶν Προφητῶν αἰνετὸς ἀριθμός.

Σὲ ὁ τῶν Μαρτύρων λευχείμων στρατὸς ἀνυμνεῖ.

Σὲ ἀνὰ τὴν οἰκουμένην ἡ ἁγία ὁμολογεῖ ἐκκλησία.

Πατέρα τῆς ἀμετρήτου μεγαλειότητος.

Τόν τε σεβάσμιον σὸν, ἀληθῆ, καὶ μονογενῆ Υἱόν.

Καὶ τὸ ἅγιον καὶ παράκλητον Πνεῦμα.

Σὺ βασιλεὺς δόξης Χριστέ.

Σὺ τοῦ Πατρὸς ἀΐδιος ὑπάρχεις Υἱός.

Σὺ πρὸς τὸ λυτρώσασθαι τὸν ἄν-

θρωπον

θρώπου ἀναληψόμενος, οὐκ ἐφρίξας τὴν τῆς παρθένου γαστέρα.

Σὺ νικήσας τοῦ θανάτου τὸ κέντρον, ἤνοιξας τοῖς πιστοῖς τὴν βασιλείαν τῶν οὐρανῶν.

Σὺ ἐν δεξιᾷ τοῦ Θεοῦ κάθησαι ἐν τῇ δόξῃ τοῦ Πατρός.

Κριτὴς πιστευόμενος ἥξειν.

Σὲ τοίνυν δεόμεθα τοῖς σοῖς οἰκέταις βοήθει, οὓς τῷ τιμίῳ σου ἐξηγόρασας αἵματι.

Καὶ ποίησον ἐν τῇ αἰωνίῳ δόξῃ τοῖς ἁγίοις σου συναριθμηθῆναι.

Σῶσον τὸν λαόν σου Κύριε, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογοῦμέν σε.

Καὶ αἰνοῦμεν τὸ ὄνομά σου εἰς αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον Κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς.

Γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

¶ " ἢ οὗτος ὁ ὕμνος.

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον, εὐλογεῖτε οὐρανοὶ τὸν Κύριον.

Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τοῦ οὐρανοῦ, πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον.

Εὐλογεῖτε ἥλιος καὶ σελήνη τὸν Κύριον, εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον.

Εὐλογεῖτε ὄμβρος καὶ δρόσος Κύριον, πάντα τὰ πνεύματα τὸν Κύριον.

Εὐλογεῖτε πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων τὸν Κύριον.

Εὐλογεῖτε δρόσοι καὶ νιφετοὶ, πάγοι καὶ ψῦχος τὸν Κύριον.

Εὐλογεῖτε πάχναι καὶ χιόνες, εὐλογεῖτε νύκτες καὶ ἡμέραι τὸν Κύριον.

Εὐλογεῖτε φῶς καὶ σκότος τὸν Κύριον.

Εὐλογεῖτε ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον.

Εὐλογείτω ἡ γῆ τὸν Κύριον, ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς αἰῶνας.

Εὐλογεῖτε ὄρη καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν γῇ τὸν Κύριον.

Εὐλογεῖτε κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον, ὑμνεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν Κύριον.

Εὐλογεῖτε πάντα τὰ θηρία καὶ πάντα τὰ κτήνη τὸν Κύριον.

Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον.

Εὐλογείτω Ἰσραὴλ τὸν Κύριον, ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς αἰῶνας.

Εὐλογεῖτε Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου τὸν Κύριον.

Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων, εὐλογεῖτε ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν Κύριον.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, καὶ Μισαὴλ τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Δόξα Πατρί.
ὡς ἦν ἐν ἀρχῇ. } Καὶ τὰ ἑξῆς.

¶ « Καὶ μετὰ δευτέραν τὴν ἀνά-
« γνωσιν εἰθισμένως λεχθή-
« σεται ὁ ὕμνος Ζαχαρία.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ· ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος, Προφητῶν αὐτοῦ.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, ἐκ χειρὸς πάντων μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν· καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν.

Ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ.

Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ σὺ παιδίον Προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν.

Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους.

Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα Πατρί. Καὶ τὰ ἑξῆς.

ϟθ ὁ ψαλμός.

Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς, ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις· Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.

Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Δόξα Πατρί. } Καὶ τὰ ἑξῆς.
ὡς ἦν ἐν ἀρχῇ. }

¶ « Εἶτα τὸ τῶν Ἀποστόλων Σύμ-
« βολον παρὰ τοῦ Διακόνου τε καὶ
« τοῦ λαοῦ συνεστηκότος κατα-
« λεχθήσεται.

Πιστεύω εἰς Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ Κύριον ἡμῶν, συλληφθέντα ἐκ Πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου, παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα καὶ ταφέντα, κατελθόντα εἰς ᾅδου, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν, ἀνελθόντα εἰς οὐρανούς, καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρὸς παντοκράτορος, ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύω εἰς Πνεῦμα ἅγιον, πιστεύω τὴν ἁγίαν Ἐκκλησίαν καθολικήν, ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, καὶ ζωὴν αἰώνιον. Ἀμήν.

¶ « Τούτοις ἐπιφέρονται καθ' ὅλον
« τὸν ἐνιαυτὸν εἰς τὸν ὄρθρον τε
« καὶ ἑσπέραν αὗται αἱ εὐχαὶ
« πάντων εὐσεβῶς γονυπετη-
« σάντων, πρῶτον ὁ Διάκονος
« ἐξανέσω

" ἐξακούστῳ φωνῇ ἀπαγγέλλει.

Κύριος εἴη μεθ' ὑμῶν.

Ἀπόκρισις.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Διάκονος.

¶ Δεηθῶμεν.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

¶ "Τότε ὁ Διάκονος, κληρικοί
"τε καὶ λαὸς προσευχὴν τὴν
"Κυριακὴν ἐπιρρυθμῷ φωνῇ
"ἀναλέξουσι.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

¶ Εἶτα ὁ Ἱερεὺς σταθεὶς ἀποφθέγξεται.

Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου.

Ἀπόκρισις.

Καὶ τὸ σωτήριόν σου δώῃς ἡμῖν.

Ἱερεύς.

Κύριε σῶσον τὸν Βασιλέα.

Ἀπόκρισις.

Καὶ ἵλεως εἰσάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ἱερεύς.

Οἱ Ἱερεῖς σου δικαιοσύνην ἐνδύσωνται.

Ἀπόκρισις.

Καὶ οἱ ἅγιοί σου ἀγαλλιάσθωσαν.

Ἱερεύς.

Σῶσον Κύριε τὸν λαόν σου.

Ἀπόκρισις.

Καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ἱερεύς.

Δὸς εἰρήνην Κύριε ἐν ταῖς ἡμέραις ἡμῶν.

Ἀπόκρισις.

Ὅτι οὐδεὶς ἡμῶν ὑπεραγωνίζεται πλὴν σοῦ ὁ Θεὸς ἡμῶν.

Ἱερεύς.

Καρδίαν καθαρὰν κτίσον ἐν ἡμῖν ὁ Θεός.

Ἀπόκρισις.

Καὶ τὸ ἅγιόν σου Πνεῦμα μὴ αἴρῃς ἀφ' ἡμῶν.

¶ "Τούτοις ἐπισυνάπτονται τρεῖς
"συλλογαί, ὧν ἡ πρώτη πρὸς
"ἡμέραν, ἡ δηλονότι ἐν πανα-
"γίᾳ τῇ συνάξει ἀνατέθειται,
"δευτέρα ὑπὲρ εἰρήνης, τρίτη
"ἡ ὑπὲρ χάριτος πρὸς τὸ κα-
"λῶς ζῆν. Δύο δὲ ἐπομένας
"ὁσημέραι ἐν ὀρθρίοις ταῖς εὐ-
"χαῖς ἀμετάλλακτα παραμε-
"νεῖτον.

Ὁ Θεὸς ὁ τῆς εἰρήνης αὐτουργὸς καὶ τῆς ὁμονοίας ἐραστὴς ὤν, ὃν τὸ γνῶναι, ζωήν· καὶ ᾧ τὸ δουλεύειν, συντελῆ τὴν ἐλευθερίαν ἀπεργάζεται· Σκέπασον ἐν πάσαις ἐχθρῶν ἐπιβολαῖς ἱκετεύοντας τοὺς δούλους σου, ὅπως οἱ τῷ σῷ ἀμερίμνως πεποιθότες ὑπερασπισμῷ, μηδεμίαν τὴν ἐξ ἐναντίας δύναμιν ὀρρωδῶμεν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Τρίτη εὐχὴ ὑπὲρ χάριτος.

Κύριε Πάτερ οὐράνιε, παντοκράτωρ ἀΐδιε Θεός, ὁ ἡμᾶς ἠσφαλισμένους εἰς ταύτης τῆς ἡμέρας ἀρχὴν ἀφικέσθαι ποιήσας, τῇ σῇ δυνάμει διατήρησον ἡμᾶς, ὥστε πρὸς μηδεμίαν ἀποκλίνειν ἁμαρτίαν, οὔτ' οὐδενὶ τῷ κινδύνῳ ἐπιδραμεῖν, ἀλλ' ἐπιτηδευμάτων ἡμῶν οἰακίσματί σου κατευθυνομένων, τὸ δίκαιον ἀπέναντί σου ἐργάζεσθαι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΤΑ ΤΥΠΙΚΑ ΤΩΝ ΕΣΠΕΡΙΝΩΝ ΕΥΧΩΝ ΚΑΘ' ΟΛΟΝ
τὸν ἐνιαυτόν.

Ἱερεὺς ἀγορεύσει.

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

„Ὡσαύτως ἐρεῖ.

Κύριε ἀνοίξεις ἡμῶν τὰ χείλη.

Ἀπόκρισις.

Καὶ τὸ στόμα ἡμῶν ἀναγγελεῖ σου τὴν αἴνεσιν.

Ἱερεύς.

Ὁ Θεὸς εἰς τὴν βοήθειαν ἡμῶν πρόσχες.

Ἀπόκρισις.

Κύριε εἰς τὸ βοηθῆσαι ἡμῖν σπεῦσον.

Δόξα Πατρί. Καὶ τὰ λοιπά.

Ἀλληλούϊα.

¶ « Τότε ᾄδονται οἱ ψαλμοὶ καθὼς ἐν τῷ πίνακι ἐτύγχανον ἐπιτεταγμένοι, πλὴν εἰ ἰδιαίτεροι εἰς ταύτην τὴν ἡμέραν καθιστῶνται, ἔπειτα ἡ ἐκ παλαιᾶς τῆς Διαθήκης ἀνάγνωσις, ὡς καὶ ἐν Μηνολογίῳ διαστοιχίζεται, εἰ μή πως ἰδιαίτερα ἀναγνώσματα πρὸς ἡμέραν ὑποτυποῦται.

Μετὰ ταῦτα ᾄδεται.

ΜΕγαλύνει ἡ ψυχή μου τὸν Κύριον· καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί·

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ·

Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν·

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς·

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς·

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους αὐτοῦ (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ) εἰς τὸν αἰῶνα.

Δόξα τῷ Πατρί. } Καὶ τὰ ἑξῆς.
Ὡς ἦν ἐν ἀρχῇ. }

Ὁ ψαλμός.

ἌΣατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.

Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· εἴδοσαν πάντα τὰ πέρατα

πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε.

Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ.

Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης ἀλαλάξατε ἐνώπιον βασιλέως Κυρίου.

Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ποταμοὶ κροτήσουσι χερσὶν ἐπὶ τὸ αὐτό· τὰ ὄρη ἀγαλλιάσεται ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

Δόξα Πατρί. ὡς ἦν ἐν ἀρχῇ. } Καὶ τὰ ἑξῆς.

¶ "Τότε ἀνάγνωσις ἐκ καινῆς "τῆς Διαθήκης· εἶτα ᾠδὴ Συ"μεὼνος.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·

Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.

Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Δόξα Πατρί. ὡς ἦν ἐν ἀρχῇ. } Καὶ τὰ ἑξῆς.

ἢ ὁ ψαλμός.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς, εὐλογήσαι ἡμᾶς ὁ Θεός. καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα Πατρί. ὡς ἦν ἐν ἀρχῇ. } Καὶ τὰ ἑξῆς.

¶ "Μετὰ ταῦτα ἀποδίδοται τὸ "Σύμβολον, ἅμα δὴ καὶ ἄλλαι "τινὲς εὐχαί, δῆτα αἱ ἐν τύπῳ "τῶν εἰς ὄρθρον, μετὰ τὸ Εὐλογη"τὸς προΐστανται, ἄλλως τε "καὶ τρεῖς συλλογαί· Ἡ πρώτη "μὲν ἐπὶ τὴν ἡμέραν· δευτέρα "ὑπὲρ εἰρήνης· τρίτη ὑπὲρ τῶν "κινδύνων ἐπικειμένων, ὡς ἑξῆς· "τὰ δὲ δύο ἔσχατα συλλογὰ ὁσημέραι ἄνευ μεταβολῆς καθ' ἕ"τος ἀναλεχθήσονται.

Δευτέρα συλλογὴ ἐν Ἑσπεριναῖς εὐχαῖς.

Ὁ Θεὸς ἀφ' οὗ πάντα ὅσια τὰ ποθήματα, ὀρθαὶ τὰ βουλεύματα, καὶ δίκαια τὰ ἐγχειρήματα ἀπορρεῖ, ἐκείνην χάρισαι τοῖς δούλοις σου εἰρήνην, ἣν ὁ κόσμος οὐχ οἷός τ' ἐστὶ παρασχεῖν, ὅπως τὴν καρδίαν ἡμῶν ἐπὶ τὸ τοῖς ἐντάλμασί σου ὑπακοῦσαι προσηρμοσμένην, ἡμεῖς φόβου τῶν πολεμίων ἀπηλλαγμένοι ἐν ἡσυχίᾳ μετ' ἀδείας τὸν χρόνον διαπεράσωμεν· διὰ τῆς ἀξίας

Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ὄντος ἡμῶν. Ἀμήν.

Τρίτη συλλογὴ ὑπὲρ τῆς τοῦ Θεοῦ κατὰ κινδύνων βοηθείας.

ΚΑταύγαζε δεόμεθα Κύριε τὸ σκότος ἡμῶν, καὶ ταύτης τῆς νυκτὸς ἐνέδρας καὶ κινδύνους ἀφ' ἡμῶν ἵλεως ἀπέλασον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ « Ἐν ταῖς ἑορταῖς Γενεθλίων « τοῦ Κυρίου, τῶν τε Ἐπιφανίων, « καὶ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ. « ἁγίου Ἰακώβου, ἁγίου Βαρθολο- « μαίου, ἁγίου Ματθαίου, ἁγίων τοῦ « Σίμωνος καὶ Ἰούδα, ἁγίου Ἀν- « δρέου, ἔτι δὲ ἐν Κυριακῇ πανα- « γίας τῆς Τριάδος, ἡ ἑξῆς « Χριστιανικῆς τῆς πίστεως ἐξο- « μολόγησις λεχθήσεται ἢ « ᾀσθήσεται.

ΟΣτις βούλεται σωθῆναι, πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίστιν.

Ἣν εἰ μή τις ἕκαστος σώαν καὶ ἀμώμητον τηρήσῃ ἄνευ δισταγμοῦ, εἰς τὸν αἰῶνα ἀπολεῖται.

Πίστις δὲ ἡ καθολικὴ αὕτη ἐστίν, ἵνα ἕνα Θεὸν ἐν Τριάδι καὶ Τριάδα ἐν Μονάδι σεβώμεθα.

Μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες.

Ἄλλη γάρ ἐστιν ὑπόστασις τοῦ Πατρός, ἄλλη τοῦ Υἱοῦ, ἄλλη τοῦ ἁγίου Πνεύματος.

Ἀλλὰ Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης.

Οἷος ὁ Πατήρ, τοιοῦτος ὁ Υἱός, τοιοῦτον καὶ τὸ ἅγιον Πνεῦμα.

Ἄκτιστος ὁ Πατήρ, ἄκτιστος ὁ Υἱός, ἄκτιστον καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Ἀκατάληπτος ὁ Πατήρ, ἀκατάληπτος ὁ Υἱός, ἀκατάληπτον καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Αἰώνιος ὁ Πατήρ, αἰώνιος ὁ Υἱός, αἰώνιον καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος.

Ὥσπερ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι, ἀλλὰ εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

Ὁμοίως παντοδύναμος ὁ Πατήρ, παντοδύναμος καὶ ὁ Υἱός, παντοδύναμον καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος.

Οὕτω Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός, Θεὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς Θεοί, ἀλλ' εἷς Θεός.

Ὁμοίως Κύριος ὁ Πατήρ, Κύριος ὁ Υἱός, Κύριος καὶ Πνεῦμα τὸ ἅγιον.

Πλὴν οὐ τρεῖς Κύριοι, ἀλλ' εἷς ἐστι Κύριος.

Ὅτι ὡς ἰδίαν μίαν ἕκαστον ὑπόστασιν Θεὸν καὶ Κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα·

Οὕτω τρεῖς Θεοὺς ἢ τρεῖς Κυρίους λέγειν τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα.

Ὁ Πατὴρ ἀπ' οὐδενός ἐστι ποιητός, οὔτε κτιστός, οὐδὲ γεννητός.

Ὁ Υἱὸς ἀπὸ τοῦ Πατρὸς μόνου ἐστίν, οὐ ποιητός, οὐ κτιστός, ἀλλὰ γεννητός.

Τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, οὐ ποιητόν, οὐ κτιστόν, οὐδὲ γεννητόν, ἀλλ' ἐκπορευτόν.

Εἷς οὖν Πατήρ, οὐ τρεῖς Πατέρες, εἷς

Υἱὸς

πᾶσι τοῖς πολεμίοις αὐτοῦ χαρίζεσθαι.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ εὐλογεῖν καὶ σώζειν χαριεστάτην ἡμῶν βασίλισσαν τὴν Μαρίαν, τὸν Ἄρχοντα ΚΑ'ΡΟΛΟΝ, Ἰάκωβον ἡγεμόνα Ἐβοράκου, ἅμα δὲ καὶ Ἐλισαβέθην δυνάστιδα Παλάτινον τοῦ Ῥήνου μετὰ λοιπῆς γενεᾶς βασιλικῆς.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ φωταγωγεῖν Ἐπισκόπους τε, καὶ ποιμένας, καὶ τοὺς τῆς Ἐκκλησίας Διακόνους, ἀληθινῇ τῇ γνώσει καὶ συνέσει τοῦ λόγου σου, ἐφ' ᾧ διδαχῇ καὶ ζωῇ ἀναγγέλλεσθαι αὐτὸν καὶ παραπλήσιον διασαφηνίζεσθαι.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ καταυγάζειν τοὺς μεγιστᾶνας βουλῆς βασιλικῆς, καὶ σύμπασαν τὴν εὐγένειαν τῇ σῇ χάριτι, σοφίᾳ, καὶ φρονήσει.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ εὐποιεῖν καὶ σώζειν τοὺς ἐν ἀξιώματι ὄντας καὶ αὐτοῖς τῆς σῆς χάριτος μεταδοῦναι, ὥστε τὰ περὶ τὰς δίκας ὀρθῶς ἀπονέμειν, καὶ τὴν ἀλήθειαν ἐπιτροπεῦσαι.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ εὐλογεῖν καὶ διασώζειν ἅπαντα ὁλόκληρον τὸν λαόν σου.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ χορηγῆσαι πᾶσι τοῖς ἔθνεσιν ὁμοφροσύνην, εἰρήνην τε, καὶ ὁμόνοιαν.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, προσάψασθαι ἡμῖν καρδίαν πρὸς τὸ ἀγαπᾶν καὶ δεδιέναι σε, καὶ ἀκριβῶς διατελεῖν τὸν βίον κατὰ τὰς ἐντολάς σου.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ δοῦναι τῷ λαῷ σου, τὴν τῆς χάριτος προσθήκην, ὥστε εὐνοϊκῶς ἐνωτίζεσθαι τὸ ῥῆμά σου, καὶ καθαρᾷ τῇ προθυμίᾳ ὑποδέξασθαι αὐτὸ, καὶ ἐξενεγκεῖν καρποὺς τοῦ Πνεύματος.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, εἰς ὁδὸν τῆς ἀληθείας ἐπαναγαγεῖν ἅπαντας τοὺς πεπλανημένους, καὶ ἐξηπατημένους.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ βεβαιῶσαι τοὺς ἑστῶτας, τὸ παραμυθῆσαι, καὶ βοηθῆσαι τοῖς ἀσθενέσι τὴν καρδίαν, τὸ ἀνεγεῖραι τοὺς πεπτωκότας, καὶ συντρῖψαι τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ παραγενέσθαι, συλλαβέσθαι, καὶ συνηγορῆσαι πᾶσι τοῖς ἐν κινδύνοις, δυσχερείαις τε καὶ θλίψεσι.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ ἀμύνειν τοῖς εἴτε γῇ, εἴτε θαλάσσῃ ἀποδημοῦσι, γυναιξὶ ταῖς ὠδινούσαις, τοῖς ἀρρώστοις, καὶ βρέφεσι, καὶ ἀποφῆναι τὸ ἔλεός σου πᾶσι τοῖς

δεσμώταις, καὶ αἰχμαλώτοις.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ περιΐστασθαι καὶ προμηθεῖσθαι τῶν ὀρφανῶν καὶ χηρῶν, καὶ πάντων τῶν μεμονωμένων, καὶ καταπιεζομένων.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ ἐλεῆσαι ἅπαξ-ἅπαντας τοὺς ἀνθρώπους.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ συγγινώσκειν πᾶσι τοῖς ἐχθραίνουσιν ἡμῖν, τοῖς τε καταδιώκουσι καὶ διαβάλλουσιν ἡμᾶς, καὶ ἀναστρέπειν αὐτῶν τὰς καρδίας.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ δωρεῖσθαι καὶ ἐπιτηρῆσαι ἡμῖν προσήκοντα τὸν καρπὸν τῆς γῆς. ὥστε ἐν τῷ δέοντι συγκομιδὴν ποιεῖσθαι.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Εὐδοκείτω σοι, τὸ χαρίζεσθαι ἡμῖν τὴν ἀληθῶς μετάνοιαν, συγγνώμην ἔχειν ἡμῖν τὰς ἀνομίας, ἀμελείας τε καὶ ἀγνοήσεις, καὶ τῇ τοῦ Πνεύματος ἁγίου χάριτι φωτίσαι ἡμᾶς, ὥστε ἐπανορθοῦν τὸν βίον καθ' ὅσιον τὸν λόγον σου.

Δεόμεθά σου Κύριε εἰσάκουσον ἡμῶν.

Υἱὲ τοῦ Θεοῦ, δεόμεθά σου εἰσάκουσον ἡμῶν.

Υἱὲ τοῦ Θεοῦ.

Ἀμνὲ τοῦ Θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Δώρησαι ἡμῖν εἰρήνην σου.

Ἀμνὲ τοῦ Θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Ἐλέησον ἡμᾶς.

Χριστὲ εἰσάκουσον ἡμῶν.

Χριστὲ εἰσάκουσον ἡμῶν.

Κύριε ἐλέησον.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Καὶ τὰ ἑξῆς.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Στίχος.

Κύριε μὴ ποιήσῃς ἡμῖν κατὰ τὰς ἀνομίας ἡμῶν.

Ἀπόκρισις.

Οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταποδῷς ἡμῖν.

Δεηθῶμεν.

Ὁ Θεὸς ἐλεημονέστατέ τε Πάτερ, ὁ μηδὲ συντετριμμένης τῆς καρδίας στεναγμοὺς, μήτε τὰς τῶν συνεσταλμένων ἐπιθυμίας ὑπεριδὼν, εὐσπλάγχνως πρόσχες ταῖς ἱκεσίαις ἡμῶν, ἃς ἐν θλίψεσι καὶ δυστυχίαις γενόμενοι ἔμπροσθέν σου ὁπηνίκα ποιήσωμεν, καὶ εὐμενῶς ἡμῖν πρόσχες, ὥστε ὅσα περ οὖν σκευωρήματα στροφῇ καὶ πανουργίᾳ ἤτοι τοῦ διαβόλου, ἢ ἀνθρώπου καθ' ἡμῶν ποτ' ἐπιχειρηθέντα ἐξουδενωθῆναι, καὶ τῇ τῆς σῆς χρηστότητος προνοίᾳ διασκορπισθῆναι, ἐφ' ᾧ ἡμεῖς οἱ δοῦλοί σου μηδενὶ τῷ διωγμῷ ἐπηρεαζόμενοι, διὰ παντὸς ἐν ἁγίᾳ τῇ σῇ Ἐκκλησίᾳ, σοὶ εὐχαριστῶμεν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐξεγέρθητι Κύριε, βοήθησον ἡμῖν, καὶ ῥῦσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργα θαυμάσια, ἃ εἰργάσω ἐν ταῖς αὐτῶν ἡμέραις, καὶ ἐν ἡμέραις ἀρχαίαις.

Ἐξεγέρθητι Κύριε, βοήθησον ἡμῖν, καὶ ῥῦσαι ἡμᾶς ἕνεκεν τῆς τιμῆς σου.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι ἁγίῳ.

Ὡς ἦν ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεὶ εἰς αἰῶνας. Ἀμήν.

Ἀπὸ τῶν ἡμῶν πολεμίων ῥῦσαι ἡμᾶς Χριστέ.

Ἀσμένως ἔπιδε τὰς ἀνίας ἡμῶν.

Τὰς τῶν καρδιῶν ἡμῶν ὀδύνας ἐλεεινῶς ἐπίβλεψον.

Ἵλεως ἴσθι ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου.

Φιλανθρώπως μετ' οἰκτιρμῶν ἐνάκουσαι τὰς δεήσεις ἡμῶν.

Υἱὲ Δαβὶδ ἐλέησον ἡμᾶς.

Καὶ νῦν, καὶ ἀεὶ, καταξίωσον εἰσακοῦσαι ἡμῶν Χριστέ.

Εὐμενῶς εἰσάκουσον ἡμῶν Χριστέ. εὐμενῶς εἰσάκουσον ἡμῶν Κύριε Χριστέ.

Στίχος.

Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου.

Ἀπόκρισις.

Καθάπερ ἐλπίζομεν ἐπὶ σοί.

¶ Δεηθῶμεν.

Ταπεινοφρόνως ἱκετεύομεν (ὦ Πάτερ) εὐσπλάγχνως ἐπίσκεψαι τὰς ἀσθενείας ἡμῶν, καὶ ἕνεκα τῆς τοῦ ὀνόματός σου δόξης ἀποσκεύασον ἡμῖν, ἅπερ αὖ κακὰ κατὰ δίκην ὠφλήκαμεν, παρέχου δὲ ὅπως ἐν ἁπάσαις ταῖς ἀμηχανίαις ἡμῶν, ἐλπίδα καὶ πεποίθησιν εἰς τὸν οἰκτιρμόν σου ὅλως ἀναστρεφώμεθα, καὶ παντὶ πάντως ἐν ἁγιότητι καὶ καθαρότητι τῆς ζωῆς σοι λατρεύωμεν πρὸς τὴν τιμὴν σὴν, καὶ δόξαν, διὰ μόνου ἡμῶν μεσίτου καὶ συνηγόρου ὄντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ὑπὲρ Μεγαλειότητος τῆς Βασιλικῆς.

Ὦ Κύριε Πάτερ ἡμῶν ἐπουράνιε, ὕψιστε καὶ κράτιστε Βασιλεῦ τῶν βασιλευόντων, Κύριος τῶν κυριευόντων, μόνος Ἄρχων τῶν ἀρχόντων, ὁ ἀπὸ τοῦ θρόνου σου πάντας τοὺς τὴν γῆν ἐνοικοῦντας ἐφορῶν· ἐκ βάθους τῆς καρδίας ἱκετεύομέν σε μετὰ τῆς εὐμενείας προσκύψαι πρὸς τὸν χαριέστατον καὶ πανυπέρλατον δεσπότην ἡμῶν Βασιλέα τὸν ΚΑΡΟΛΟΝ, καὶ οὕτως ἐν αὐτῷ τὴν τοῦ Πνεύματος ἁγίου χάριν προστιμερεῖσθαι, ὡς ἀεὶ ἐπὶ τὸ θέλημά σου ποιεῖν εὐκαταφόρως τετυχέναι, καὶ ἐν ταῖς ὁδοῖς σου πορεύεσθαι, πολλαπλασίασον ὑπερπερισσοῦ ἐν αὐτῷ ἐπουράνια τὰ χαρίσματά σου, χορήγησον αὐτῷ ἐν ὑγείᾳ καὶ εὐημερείᾳ δηθὰ καὶ δηθὰ μακροβιοῦν, ἐπιρρώννυσον αὐτὸν, ὥστε τοὺς ἐχθροὺς καταπολεμῆσαι, καὶ νικῆσαι, τελευταῖον δὲ, ἐπὶ τῷ ἀπαλλαγῆναι, αἰωνίου χαρᾶς καὶ δόξης ἐπιτεύξεσθαι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ὑπὲρ τῆς Βασιλίσσης καὶ γενεᾶς Βασιλικῆς εὐχή.

Θεὸς ὁ παντοκράτωρ, ὁ ἐπαγγειλάμενος τὸ παρέχειν σε πατέρα τοῖς ἐκλεκτοῖς σου καὶ αὐτῶν τῷ σπέρματι· λιπαρῶς ἀντιβολοῦμεν τὸ εὐλογῆσαι χαριέστατην ἡμῶν Βασίλισσαν τὴν Μαρίαν, τὸν Ἄρχοντα ΚΑΡΟΛΟΝ, τὸν ΙΑΚΩΒΟΝ Ἡγεμόνα Ἐβορέκου, καὶ

Δέσποιναν

Δέσποιναν τὴν Μαρίαν, ἔτι δὲ Ἐλισαβὲθ τὴν δυνάστιδα, Παλάτειον τοῦ Ῥήνου καὶ πᾶσαν γενεὰν βασιλικήν· ἐπιπροίκισον αὐτοὺς ἁγίῳ τῷ Πνεύματι, παμπλουσίασον αὐτοὺς οὐρανίῳ τῇ χάριτι, προσπόρισον αὐτοῖς πᾶσαν τὴν εὐδαιμονίαν, καὶ εἰσενέγκῃς αὐτοὺς εἰς βασιλείαν τὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παντοκράτωρ αΐδιε Θεός, ὁ μόνος τὰ μεγαλεῖα κατειργασμένος, κατάπεμψον ἐπὶ τοὺς Ἐπισκόπους τε καὶ ἡγεμόνας ἡμῶν, καὶ πάσας ἐπισυναγωγὰς τὰς αὐτῶν ἐπιμελείᾳ πεπιστευμένας, ὑγιαῖνον τῆς σῆς χάριτος πνεῦμα, ἵνα δὴ δεόντως σοι εὐαρεστήσωσιν· ἔγχεον ἐπ᾽ αὐτοὺς ἀέναον τῆς σῆς εὐλογίας δρόσον· τοῦτο χάρισαι Κύριε διὰ τὴν τιμὴν τοῦ παρακλήτου καὶ μεσίτου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου.

¶ Εὐχὴ τοῦ ἁγίου Χρυσοστόμου.

Παντοκράτωρ αἰώνιε Θεός, ὁ ἡμῖν χαρισάμενος ὁμοθυμαδὸν ἐν τῷ καιρῷ τούτῳ συναχθεῖσι, δεήσεις σοι προσενεγκεῖν· ὁ καὶ δύο ἢ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αὐτῶν ἱκετηρίας εὐσπλάγχνως ἐνωτισάμενος ἐπαγγειλάμενος, ἀντιβολοῦμέν σε τὰς εὐχὰς τῶν δούλων σου καὶ τὰ αἰτήματα κατὰ τὸ αὐτοῖς συμφέρον ἐκτελεῖν, χορηγοῦντα ἡμῖν ἐν τῷ παρόντι βίῳ τῆς σῆς ἀληθείας ἐπίγνωσιν, καὶ ἐν τῷ μέλλοντι ζωὴν τὴν αἰώνιον. Ἀμήν.

Ῥητῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

β. Κορινθ. ιγ. ιγ.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ἡμῶν. Ἀμήν.

¶ Ὑπὲρ ὑετοῦ ἐν καιρῷ ἀνάγκης.

Ὁ Θεὸς Πατὴρ οὐράνιος, ὁ διὰ Υἱοῦ Ἰησοῦ Χριστοῦ πᾶσι τοῖς τὴν σὴν βασιλείαν, καὶ τὴν αὐτῆς δικαιοσύνην ζητοῦσιν, ἅπαντα περὶ τὸν νῦν βίον ἀναγκαῖα ὑποσχεθείς, πρόπεμψον ἡμῖν ἱκετευόμενοις ἐν ταύτῃ τῇ χρείᾳ ἡμῶν, προσήκοντας τοὺς ὑετούς, καὶ ὄμβρους· ὅπως καρποὺς τῆς γῆς, πρὸς τὴν ἡμετέραν παραμυθίαν, καὶ πρὸς τὴν σὴν τιμὴν εὐκαίρως συγκομίσωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ὑπὲρ αἰθρίας.

Κύριε ὁ Θεός, ὁ διὰ τὰς ἀνθρώπων ἁμαρτίας, ὅλον τὸν κόσμον, πλὴν ὀκτὼ τῶν ψυχῶν, ἅπαξ καταποντίσας· καὶ ἔπειτα ἐκ τοῦ ἀδιηγήτου ἐλέους σου μηδαμῶς αὐτὸν τρόπον ἐξολεθρεύειν ὑποσχόμενος· ταπεινῶς ἀντιβολοῦμέν σε καίτοι διὰ τὰς ἀδικίας ἡμῶν ταύτης τῆς τιμωρίας βροχῆς καὶ ἐπομβρείας ἄξιοι μάλα ἐνδίκως ἐπιτυγχάνοιμεν, μήτι γε παρὰ τὴν ἄλλως ἡμῶν μετάνοιαν

…νοιαν, τοιαύτην τὴν ἡμῖν εὐδίαν …λαπέμψειας ἄν, ἐφ' οἷα τοὺς καρποὺς τῆς γῆς ἐν καιρῷ συλλέγεσθαι …νηθῶμεν, καὶ μὴ μόνον τῇ σῇ …λάσει πεπαιδευμένοι τὸν βίον σω…φρονίζειν, ἀλλά, καὶ διὰ τὴν σὴν εἰς ἡμᾶς πραότητα, τὰς αἰνέσεις καὶ …μὰς ἀκαταλείπτως σοι ἀπονέ…μειν καταμάθωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐν καιρῷ λιμοῦ καὶ σιτοδείας.

Ὦ Θεέ, Πάτερ οὐράνιε, οὗ ἔργον ἐκ φιλοδωρείας ἐστί, τὸ καταρρεῖν τὸν ὑετόν, καρποφορεῖσθαι τὴν γῆν, τὰ κτήνη αὐξάνεσθαι, καὶ τοὺς ἰχθύας πληθύνεσθαι· ἐπίσκεψαι, δεόμεθά σου, τὰς θλίψεις τοῦ λαοῦ σου, ὥστε τὴν ἔνδειαν καὶ σπανοσιτίαν νυνὶ μὲν δικαιοτάτως ἐπὶ τοῖς ἡμῶν παραπτώμασι πεπόνθαμεν, τῇ σῇ ἀγαθωσύνῃ εἰς τὴν εὐωνίαν τε καὶ ἀφθονίαν, ἐλεεινῶς διαβαπτῖναι· διὰ τὴν ἀγάπην Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ᾧ μετὰ σοῦ καὶ Πνεύματος Ἁγίου εἴη αἶνος, ἡ αἴνεσις, τιμή, καὶ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἐν ὥρᾳ τοῦ πολέμου.

Παντοκράτωρ Θεός, ὁ ἄναξ ἀνάκτων, καὶ πάντων κυβερνήτης, πρὸς οὗ τὸ κράτος οὐδεμία κτίσις ἀντέχεσθαι δύναιτ' ἄν, οὗ ἐστιν δικαίως τὸ κολάζειν ἁμαρτόντας, καὶ τοὺς ἀκιβδήλως μετανοοῦντας ἐλεεῖν· σῶσον καὶ ῥῦσον ἡμᾶς, ἱκετευόμεθα, ἀπὸ χειρὸς τῶν πολεμίων, …αγαίπισον αὐτῶν ὑπερηφάνειαν, …αίτωσον τὴν λύσσαν, καὶ διασκέδασον αὐτῶν τεχνάσματα, ὅπως ἡμεῖς τῇ σῇ προστασίᾳ πανοπλισθέντες, ἀπὸ πάντων τῶν κινδύνων ῥυσθῶμεν, πρὸς τὸ ἐπαφημιῶσαι αἰεί σε, τὸν μόνον τῆς νίκης δοτῆρα καὶ χορηγὸν ὄντα· διὰ τὴν ἀξίαν μονογενοῦς τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐν καιρῷ λοιμοῦ ἢ νόσου τινὸς οὖν ἄλλης θανασίμου.

Παντοκράτωρ Θεός, ὃς, ἐπὶ ἄρχοντος τοῦ Δαβὶδ ὀργισθείς, ἑβδομήκοντα τῶν ἀνθρώπων χίλια μάστιγι τοῦ λοιμοῦ ἀνελών, καὶ ὅμως τοὺς οἰκτιρμούς σου διὰ μνήμης ἔχων, τοὺς ὑπολοίπους διασώσας· ἐλέησον ἡμᾶς, ἀθλίους ὄντας ἁμαρτωλούς, τοὺς μεγάλως ἐν τῷ παρόντι νόσοις καὶ ὀλεθρίῳ τῷ λοιμῷ ἐπεσκεμμένους, ὅπως, καθάπερ τότε τῷ σῷ προσέταξας ἀγγέλῳ, τὸ λήγειν τῆς τιμωρίας· οὕτω καὶ νῦν ἡμᾶς τούτου λοιμοῦ καὶ θανασίμου τῆς ἀλγηδόνος ἀπείργειν ἀξιώσῃς· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ὦ Θεός, ᾧ ἔμφυτόν ἐστι καὶ κύριον τὸ ἐλεῆσαι καὶ φείδεσθαι, πρόσδεξαι ταύτας ἡμῶν τὰς δεήσεις, ἵνα καίτοιγε τῇ τῶν ἀδικημάτων ἡμῶν ἁλύσει αἰχμόδετοι καὶ πεπεδημένοι γεγόναμεν· ὅμως δὲ τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου ἐλευθεράσῃ ἡμᾶς· ἕνεκα τιμῆς τῆς εὐεργεσιῶν τοῦ Μεσίτου καὶ συνηγόρου ὄντος, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχαριστήριον διὰ τὸν ὑετόν.

Ὦ Θεὸς πατὴρ οὐράνιος, ὁ χαριεστάτῃ τῇ σῇ προνοίᾳ ποιήσας τὸ καταπεσεῖν ἐπὶ τὴν γῆν τὸν ὑετόν, πρώϊμόν τε καὶ ὄψιμον, πρὸς τὸ φῦσαι καρποὺς τῇ χρείᾳ τῶν ἀνθρώπων συμφέροντας, εὐχαριστοῦ-

μεν σοι, ὅτι ηὐδόκησας, ἐν ταύτῃ τῇ μεγίστῃ ἡμῶν ἀνάγκῃ, βροχὴν ἑκούσιον ἀφορίζειν τῇ κληρονομίᾳ σου, καὶ ὅταν ἐξηράνθη ἀναψῦξαι αὐτήν, πρὸς μεγάλην ἀναξίων τῶν δούλων σου παραμυθίαν, καὶ τοῦ ὀνόματός σου δόξαν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχαριστήριον περὶ τὴν εὐδίαν.

Ὦ Θεὸς πάτερ οὐράνιε, ὁ τῇ νῦν ἄρτι πληγῇ, πλειόνων τῆς μετρίας ὄμβρων τε καὶ βροχῶν, ἡμᾶς δικαίως ταπεινώσας, καὶ αὖ, ἐκ τοῦ ἐλέους σου, τῇ ἐγκαίρῳ καὶ εὐλογητῷ εἰς τὴν αἰθρίαν μεταβολῇ, ψυχὰς ἡμῶν συλλαμβάνων, καὶ παρακαλέται· πανάγιον ὄνομά σου διὰ ταύτην τὴν εὐσπλαγχνίαν ἐπαινοῦμεν, καὶ δοξάζομεν, καὶ προσηνῆ τὴν σὴν φιλανθρωπίαν ἀπὸ γενεᾶς εἰς γενεὰν ἀδιαπαύστως ἀναγγελοῦμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχαριστήριον διὰ τὴν εὐπορίαν.

Ὦ Πάτερ ἐλεημονέστατε, ὁ ἐξ εὐμενοῦς τῆς ἀγαθότητός σου εὐλαβεῖς τῆς σῆς Ἐκκλησίας εὐχὰς ἐνωτίσας, ἅμα δὴ καὶ τὸν λιμὸν ἡμῶν, καὶ σιτοδείαν, εἰς τὴν εὐωνίαν τε καὶ εὐετηρίαν μετενεγκών· ἱκετήριον σοι τὴν χάριν οἴδαμεν περὶ ταύτην τὴν ἐξαίρετον εὐεργεσίαν σου, ἀντιβολοῦντές σε τὸ ἐκείνην τὴν μεγαλοδωρεάν σου διηνεκῆ ποιεῖσθαι ἡμῖν, ὥστε δοῦναι γῆν τὸν καρπὸν αὐτῆς ἐπαυξήσεως, πρὸς τὴν δόξαν σου, καὶ παρηγορίαν ἡμῶν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχαριστήριον ἐπὶ τῇ εἰρήνῃ καὶ νίκῃ.

Θεὸς ὁ παντοκράτωρ, ὁ τ δούλοις σου ἐναντίον προσώ τῶν πολεμίων αὐτῶν, ἐχυρὸς π περιτειχισμοῦ πύργος ὤν· τὴν αἴ σιν καὶ εὐχαριστίαν σοι ὁμολογοῦμ ἐπὶ τῷ ἐλευθερῶσαι ἡμᾶς ἀ μεγάλων καὶ πᾶσι φανερῶν τῶν κι δύνων· τὴν σὴν ἀγαθωσύ ἐπιγινώσκομεν, ὅτι οὐχ ὑ χείριοι ὡς λεία τις αὐτοῖς ἐνεδόθ μεν, ἱκετεύοντές σε, τηλικαῦ ἡμῖν χαρίσματα τὸ θεῖον βελτι τα, ἵνα πᾶσα ἡ οἰκουμένη δυνη γνωρίζειν σε σωτῆρα ἡμῶν καὶ κρ ταιὸν ῥύστην ὄντα· διὰ Ἰησοῦ Χρι τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχαριστήριον διὰ τὴν ἀνάρρυσιν ἐκ τοῦ λοιμοῦ.

Κύριε Θεός, ὁ διὰ τὰ ἁμαρτ θέντα σωυβάσας ἡμᾶς, καὶ δι τὰ προσκρουσθέντα σοι, ταύτῃ τ ὑποδύμῳ, βαρεῖα, καὶ ὁρμώδει ἐπισκέψει ἀπολέσαι ἡμᾶς, καὶ μ ταξὺ τῆς ἀποτομίας τοὺς οἰκτιρμ σου διὰ μνήμης ἔχων, τὰς ψυχ ἡμῶν ἐκ θανάτου γαμψηλ ἀπηλλάξω· παῦσαι τῇ χρηστότ σου ἡμᾶς αὐτούς, ψυχάς τε, καὶ σώμ τα παρὰ σοῦ λυτρωθέντα, θυσ ζῶσαν παραστασθεῖσαν σοι ἀ προσηνέγκομεν. ἐς ἀεὶ ἀνάμεσ τῆς Ἐκκλησίας τὰ ἐλέη σου μεγαλ οντες, καὶ ἐπαινοῦντες· διὰ Ἰη Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἄλλη.

ἈΝτήδην ὁμολογοῦμεθα ἐνώπι σου, εὐγνωμονικώτατε Πάτ τὸ δεῖν ἡμᾶς διὰ πολλαπλασ τὰς ἀνομίας ἡμῶν, καὶ τὴν τῆς καρ δίας σκληρότητα, πᾶσαν τὴν

Τῇ

...ὐ νόμῳ σου ἠπειλημένην δίκην ἀ-
...ως ἀποτῖσαι· ὅμως δὲ, ἐπειδὴ περ ὑπ'
...ιπερμῶν σου, δι' ἀσθενῆ τε καὶ οὐδάμι-
...ν τὴν ταπείνωσιν ἡμῶν φθορεροποι-
...τὸν λοιμὸν, ᾧ περὶ ὀλίγου μὲν ἀθλίως
...ταλαιπωρήθημεν, ἀναπαῦσαι, καὶ ἐν
...ῖς οἰκήμασιν ἡμῶν τὴν τῆς ἀγαλ-
...ιάσεώς τε καὶ ὑγείας αὐδὴν ἀποκατα-
στῆσαι ἠξίωσας· θεία τῇ μεγαλειό-
τητί σου ταύτην τῆς αἰνέσεως καὶ εὐχα-
ριστίας θυσίαν προσενηνόχαμεν, διὰ
παντὸς περιφανέστατον ὄνομά σου διὰ
ταύτην τὴν συνάρρουσιν, καὶ προστα-
τείαν σου, δοξάζοντες καὶ ἐπιφημί-
ζοντες· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου
ἡμῶν. Ἀμήν.

Τὸ τῆς Λιτανείας τέλος.

" Αἱ Συλλογαὶ, ἅμα καὶ διάταξις ἐπὶ τῶν εὑρεῖν ἀρχὴν καὶ τέλος
" περικοπῶν τῶν Ἐπιστολικῶν τε καὶ Εὐαγγελικῶν, ἐν τῇ καινῇ Δια-
" θήκῃ, κατὰ κεφάλαια καὶ κόμματα, καθάπερ ἐν βίβλῳ δημοσίων τῶν
" εὐχῶν ἐπισατεῖται.

¶ Κυριακὴ πρώτη τῆς Παρουσίας.

Δώρησον ἡμῖν χάριν, Θεὸς ὁ παντοκράτωρ, ἵνα τὰ ἔργα τοῦ σκότους ἀποσάμενοι, τὰ ὅπλα τοῦ φωτὸς ἐνδυσώμεθα ἐν τούτῳ τῷ νῦν ...ητῆς τῆς ζωῆς καιρῷ, (ἐν ᾧ Ἰησοῦς Χριστὸς ὁ Υἱός σου μετὰ πολλῆς ...μᾶς ταπεινοφροσύνης ἐπισκεψόμενος ἀφίκετο) ὅπως ἐν ἐσχάτῃ τῇ ἡμέρᾳ, ὅταν μέλλει μετὰ δόξης τῆς αὐτοῦ μεγαλειότητος ἐπανέρχεσθαι, κρῖναι τοὺς ζῶντάς τε καὶ νεκροὺς, εἰς ζωὴν τὴν ἀθάνατον ἐγειρώμεθα· δι' αὐτοῦ συζῶντός τε καὶ συμβασιλεύοντός σοι καὶ Πνεύματι ἁγίῳ, νῦν καὶ εἰς αἰῶνας. Ἀμήν.

Ἐπιστολή.

Ῥω. ιγ. 13. Μηδενὶ μηδὲν ὀφείλετε.

Κόμμα. η. 8. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματθ. κα. 21. Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσολ.

Κόμ. α. 1. μέχρι ιδ. 14.

¶ Δευτέρα Κυριακὴ ἐν Παρουσίᾳ.

Εὐλογητὲ Θεὸς, ὁ ποιήσας πάντα, ὅσα προεγράφη, εἰς τὴν ἡμετέραν προγεγράφθαι διδασκαλίαν, παράσχου ἡμῖν, τὸ τόνδε τρόπον γραφῆς ἀκοῦσαι, ἀναγνῶναι, προσέχειν, μαθεῖν τε καὶ ἔσωθεν καταπέψαι, ὥστε διὰ τῆς ὑπομονῆς, καὶ παρακλήσεως τῶν γραφῶν, τὴν τῆς αἰωνίου ζωῆς εὐλογητὸν ἐλπίδα ἐναγκαλίσασθαι καὶ ἐσαεὶ περιπτύξασθαι, ἣν ἐν τῷ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδωρήσω ἡμῖν, ᾧ σὺν σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιστολή.

Ῥωμ. ιε. 15. Ὅσα γὰρ προεγράφη.

Κόμ. δ. 4. μέχρι ιδ. 14.

Εὐαγγέλιον.

Λυκ. κα. 21. Καὶ ἔσαι σημεῖα ἐν ἡλίῳ.

Κόμ. κε. 25. μέχρι λδ. 34.

¶ Τρίτη Κυριακὴ ἐν Παρουσίᾳ.

Ἐνώτισαι, δεόμεθα Κύριε, τὰς ἡμῶν προσευχὰς, καὶ τὸ σκότος τῆς ἡμετέρας διανοίας τῇ χάριτι τῆς σῆς ἐπισκέψεως διαφώτισον· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α Κορινθ. δ. 4. Οὕτως ἡμᾶς λογιζέσθω.

Κόμ. α. 1. μέχρι ς. 6.

Εὐαγγέλιον.

Ματθ. ια. 11. Ὁ δὲ Ἰωάννης ἀκούσας.

Κόμ. β. 2. μέχρι ια. 11.

¶ Τετάρτη Κυριακὴ ἐν Παρουσίᾳ.

Ἔγειρον, ἀντιβολοῦμέν σε Κύριε, τὴν σὴν δύναμιν, καὶ ἐλθὲ, καὶ μετὰ μεγάλης ἡμῶν ἀντιλαβοῦ ἰσχύος, ἵνα διὰ τῆς χάριτός σου, ὅσα τὰ ἡμῶν παραπτώματα διείργει καὶ κωλύει, ἡ εὐσπλαγχνία τῶν οἰκτιρμῶν σου (διὰ τὸ ἀντίλυτρον τοῦ Υἱοῦ σου καὶ Κυρίου ἡμῶν) ἐλευθερώσασα ἐπιτελῇ· ᾧ μετὰ σοῦ καὶ Πνεύματος ἁγίου, τιμὴ καὶ δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐπιστολή.

Φιλιπ. δ. 4. Χαίρετε ἐν Κυρίῳ πάντοτε.

Κόμ. δ. 4. μέχρι η. 8.

Εὐαγγέλιον.

Ἰωάν. α. 1. Καὶ αὕτη ἐστὶν ἡ μ[αρτυ]ρία.

Κόμ. ιθ. 19. μέχρι κθ. 29.

¶ Ἐν τοῖς Γενεθλίοις τοῦ Κυρίου.

Παντοκράτωρ Θεὸς, ὁ ἡμῖ[ν τὸν] μονογενῆ σου Υἱὸν δεδω[κὼς], τὴν ἡμετέραν φύσιν ἀποδεξάμ[εν]ον, ἐν τῇ σήμερον ἡμέρᾳ ἐκ καθαρ[ᾶς] τῆς παρθένου τεχθῆναι· παρέχε[...] ὅμεθα, ἵνα ἡμεῖς παλιγγεννηθέ[ντες] καὶ τὰ σὰ τέκνα δι᾽ υἱοθεσίας καὶ χ[...] ειl⊕ ποιηθέντες, καθ᾽ ἑκάσ[την] Πνεύματι τῷ ἁγίῳ ἀνακαινιζ[ώ]μεθα· δι᾽ αὐτοῦ τοῦ Υἱοῦ σου, ὁ ζ[ῇ καὶ] βασιλεύει, μετὰ σοῦ καὶ Πνεύματ[ος] ἁγίου, εἰς αἰῶνας. Ἀμήν.

Ἐπιστολή.

Ἑβρ. α. 1. Πολυμερῶς καὶ πολυτ[ρό]πως.

Κόμ. α. 1. μέχρι ιγ. 13.

Εὐαγγέλιον.

Ἰωάν. α. 1. Ἐν ἀρχῇ ἦν ὁ Λόγ[ος].

Κόμ. α. 1. μέχρι ιε. 15.

¶ Ἐν ἡμέρᾳ ἁγίου τοῦ Στεφάνου.

Χάρισαι ἡμῖν Κύριε, δεόμε[θα], ἵνα ἀκολούθως τῷ ἁγίῳ Στ[ε]φάνῳ τοὺς ἐχθροὺς ἀγαπᾶν μα[νθ]άνωμεν· ὃς ὑπὲρ τῶν αὐτὸν δι[ω]κόντων ηὔχετό σοι συζῶντι καὶ συ[μ]βασιλεύοντι. καὶ τὰ ἑξῆς.

¶ " Εἶτα ἐπιφέρεται Συλλογὴ [...]
" τῶν Γενεθλίων, ἣν δεῖ ἀ[...]
" πιμπάζειν μέχρι Ἐννεν[...]
" μοῦ.

Ἐπιστολή.

Πράξ. ζ. 7. Ὑπάρχων δὲ πλ[ή]ρης Πνεύματος.

Κό[μ.]

Κόμ. ιθ. 55. μέχει τέλους.

Ε᾿υαγγέλιον.

Ματθ. κγ. 23. Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω.

Κόμ. λδ. 34. μέχει τέλους.

¶ Ε᾿ν ἡμέρᾳ ἁγίου Ι᾿ωάννου τοῦ Ε᾿υαγγελιστοῦ.

Ι῞Λεως Κύριε, ἱκετεύομέν σε, λαμπρᾶς τοῦ φωτός σου ἀκτῖσι, τὴν σὴν Ε᾿κκλησίαν καταυγάζειν, ὅπως τῆ τοῦ μακαρίτου Α᾿ποστόλου τε καὶ Ευαγγελιστοῦ Ι᾿ωάννου διδαχῇ πεφωτισμένη, χαρισμάτων ἐφίκηται τῶν αἰδίων διὰ Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

α. Ι᾿ωάν. α. 1. Ο῾ ἦν ἀπ᾿ ἀρχῆς.

Κόμ. α. 1. μέχει τέλους.

Ε᾿υαγγέλιον.

Ι᾿ωάν. κα. 21. Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ.

Κόμ. ιθ. 19. μέχει τέλους.

¶ Ε᾿ν ἡμέρᾳ Βρεφῶν τῶν ἀθώων.

ΠΑντοκράτωρ Θεὸς, οὗπερ ἐγκώμιον νεογνὰ τὰ μάρτυρεῖσθαι σου, τῇ τήμερον ἡμέρᾳ, οὐ δῆτα λαλοῦντα, ἀλλὰ θανόντα ἀνήγγειλε, καὶ ὡμολόγησε· διάσφαξον ἐν ἡμῖν καὶ θανάτωσον ἅπασαν τὴν ἀκαθαρσίαν, ὅπως ζωῇ καὶ ἤθεσιν, ἣν πίστιν ἀπὸ γλώσσης ἐξαγορεύομεν, διαῤῥήδην ἀποδείξωμεν· διὰ Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

Α᾿ποκ. ιδ. 14. Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον.

Κόμ. α. 1. μέχει τέλους.

Ε᾿υαγγέλιον.

Ματθ. β. 2. Ι᾿δοὺ, ἄγγελος Κυρίου φαίνεται.

ιγ. 13. μέχει ιθ. 19.

¶ Κυριακὴ μετὰ τὰ Γενέθλια.

ΠΑντοκράτωρ Θεὸς, ὁ ἡμῖν τὸν μονογενῆ σου Υ῾ιόν· καὶ τὰ ἑξῆς ὡς ἄνω, ἐν τῇ ἑορτῇ τῶν Γενεθλίων.

Ε᾿πιστολή.

Γαλά. δ. 4. Λέγω δὲ, ἐφ᾿ ὅσον χρόνον.

Κόμ. α. 1. μέχει η. 8.

Ε᾿υαγγέλιον.

Ματθ. α. 1. Βίβλος γενέσεως.

Κόμ. α. 1. μέχει τέλους.

¶ Ε᾿ν ἑορτῇ τῆς τοῦ Χριστοῦ Περιτομῆς.

ΠΑντοκράτωρ Θεὸς, ὁ ἐπὶ τῷ τὸν ευλογητὸν Υ῾ιόν σου τὴν τῆς σαρκὸς περιτομὴν παθεῖν, καὶ τῷ νόμῳ, ἕνεκεν ἀνθρώπου, ὑποταγῆναι ποιήσας· δὸς ταῖς καρδίαις καὶ τοῖς μέλεσιν ἡμῶν ἀληθινὴν καὶ πνευματικὴν περιτομὴν, ὥστε τοῖς τοῦ κόσμου τε καὶ τῆς σαρκὸς ἐπιθυμίαις νεκρώσαντας, τῷ θείῳ σου θελήματι διὰ πάντων ἀεὶ πείθεσθαι· διὰ αὐτοῦ τοῦ Υ῾ιοῦ σου Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

Ρ῾ωμ. δ. 4. Μακάριος ἀνὴρ ᾧ.

Κόμ. η. 8. μέχει ιε. 15.

Ε᾿υαγγέλιον.

Λουκ. β. 2. Καὶ ἐγένετο, ὡς ἀπῆλθον.

Κόμ. ιε. 15. μέχει κβ. 22.

¶ " Ε᾿ὰν μετέλθῃ Κυριακὴ μεταξὺ τῶν Ε᾿πιφανίων καὶ Περιτομῆς, τοιαύτη ἔσται ἡ Συλλογὴ Ε᾿πιστολή τε, καὶ Ε᾿υαγγέλιον, ὡς ἄνω ἐν ἡμέρᾳ τῆς Περιτομῆς.

¶ Ε'ν ἡμέρᾳ τῶν Ε'πιφανίων.

ΘΕὸς, ὁ, τῇ τοῦ ἀστέρος ὁδηγησίᾳ, μονογενῆ τὸν Υἱόν σου τοῖς Ε'θνεσι φανερώσας, ἵλεως χάρισαι, ἵνα ἡμεῖς, οἱ σὲ ἐκ πίστεως ἐγνωκότες, τῆς ἐνδόξης σοῦ μετὰ τοῦτον τὸν βίον Θεότητος ἀπολαύωμεν· διὰ Ι'ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α'μήν.

Ε'πιστολή.

Ε'φε. γ. 3. Τούτου χάριν ἐγὼ Παῦλος.

Κόμ. α. 1. μέχρι ιγ. 13.

Ε'υαγγέλιον.

Ματ. β. 2. Τοῦ δὲ Ιησοῦ γεννηθέντος.

Κόμ. α. 1. μέχρι ιγ. 13.

¶ Κυριακὴ α. 1. μετὰ τὰ Ε'πιφάνια.

ΔΕόμεθά σου, Κύριε, τὰς εὐχὰς τοῦ ἱκετεύοντός σε λαοῦ ἀσμένως ὑποδέξασθαι, καὶ συγχώρησον αὐτῷ, ὥστε τὰ γενέσθαι δέοντα, βλέπειν τε καὶ συνιέναι, καὶ πρὸς τὸ τοιαῦτα πράττειν, τῇ σῇ χάριτι καὶ δυνάμει ἐνισχυθῆναι· διὰ Ι'ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α'μήν.

Ε'πιστολή.

Ρ'ω. ιβ. 12. Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφ.

Κόμ. α. 1. μέχρι ς. 6.

Ε'υαγγέλιον.

Λουκ. β. 2. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα.

Κόμ. μβ. 42. μέχρι τέλους.

¶ Δευτέρα Κυριακὴ μετὰ τὰ Ε'πιφάνια.

ΠΑντοκράτωρ ἀΐδιε Θεὸς, ὁ τὰ ἐπουράνιά τε καὶ τὰ ἐπίγεια διοικῶν, φιλανθρώπως εἰσάκουσον ἱκεσιῶν τοῦ λαοῦ σου, τὴν σὴν ἡμῖν εἰρήνην χαρισάμενος ἐν τοῖς ἡμῶν χρόνοις· διὰ Ι'ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α'μήν.

Ε'πιστολή.

Ρ'ωμ. ιβ. 12. Ε'χοντες δὲ χαρίσματα.

Κόμ. ς. 6. μέχρι ις. 16.

Ε'υαγγέλιον.

Ι'ωάν. β. 2. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ.

Κόμ. α. 1. μέχρι ιβ. 12.

¶ Τρίτη Κυριακὴ μετὰ τὰ Ε'πιφάνια.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ἐπὶ τὰς ἡμῶν ἀσθενείας ἵλεως ἐπίσκεψαι, καὶ, ἐν πᾶσι κινδύνοις καὶ ἀμηχανίαις, τὴν σὴν δεξιὰν πρὸς τὴν ἄμυναν ἡμῶν καὶ βοήθειαν ἀπέκτεινον· διὰ Ι'ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α'μήν.

Ε'πιστολή.

Ρ'ωμ. ιβ. 12. Μὴ γίνεσθε φρόνιμοι παρ'.

Κόμ. ις. 16. μέχρι τέλους.

Ε'υαγγέλιον.

Ματθ. η. 8. Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ.

Κόμ. α. 1. μέχρι ιδ. 14.

¶ Τετάρτη Κυριακὴ μετὰ τὰ Ε'πιφάνια.

Ο' Θεὸς, ὁ, ἐν τοσούτοις ἡμᾶς κινδύνοις καθιστάμενος, διὰ τὸ τοῦ ἀνθρώπου φαῦλον οὐχ οἵους τ' εἶναι ὑφίστασθαι, γνοὺς· δώρησαι ἡμῖν τὴν τοῦ νοός τε καὶ σώματος ἀσφάλειαν, ἵνα ὅσα διὰ τὰς ἡμῶν ἁμαρτίας πάσχοντες τυγχάνομεν, πάντα, σοῦ βοηθοῦντος, περιελθεῖν καὶ καταπαλαίειν δυνηθῶμεν· διὰ Ι'ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α'μήν.

Ε'πιστολή.

Ἐπιστολή.

Ῥωμ. ιγ. 13. Πᾶσα ψυχὴ ἐξουσίαις.

Κόμ. α. 1. μέχρι η. 8.

Εὐαγγέλιον.

Ματθ. η. 8. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον.

Κόμ. κγ. 23. μέχρι τέλους.

¶ Πέμπτη Κυριακὴ μετὰ τὰ Ἐπιφάνια.

ΔΕόμεθά σου, Κύριε, τὴν Ἐκκλησίαν δηλαδὴ τὴν σὴν οἰκίαν ἐν ἀληθινῇ τῇ λατρείᾳ σου διαφύλαξον, ὥστε τὴν τῇ μόνῃ τῆς οὐρανίου χάριτος ἐλπίδι ἐπισκηπτομένην, τῷ σῷ ὑπερασπισμῷ ἀναφαίνεσθαι ἠσφαλισμένην· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Κολ. γ. 3. Ἐνδύσασθε οὖν ὡς ἐκλεκτοί.

Κόμ. ιβ. 12. μέχρι ιη. 18.

Εὐαγγέλιον.

Ματθ. ιγ. 13. Ὡμοιώθη ἡ βασιλεία.

Κόμ. κδ. 24. μέχρι λα. 31.

¶ " Ἕκτη Κυριακὴ, ἐὰν τυχόν" τως συμβῇ, ταύτην Συλλο" γὴν, Ἐπιστολήν τε, καὶ Εὐαγ" γέλιον, ὡς καὶ πέμπτη, ἕξει.

¶ Κυριακὴ τῆς Ἑβδομηκοστῆς.

ἈΝτιβολοῦμέν σε, Κύριε, τὰς εὐχὰς τοῦ λαοῦ σου προσηνῶς εἰσάκουσον, ἵνα οἱ δικαίως τὴν ἡμῶν πλημμελημάτων τιμωρίαν εἰσπραττόμενοι, ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, τῇ σῇ χρηστότητι ῥυσθῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Κορ. θ. 9. Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ;

Κόμ. κδ. 24. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματθ. κ. 20. Ὁμοία γάρ ἐστιν ἡ βασιλεία.

Κόμ. α. 1. μέχρι ιζ. 17.

¶ Κυριακὴ τῆς Ἑξηκοστῆς.

ὉΘεὸς, ὁ βλέπων ὅτι ἐπ' οὐδεμιᾷ τῇ ἡμετέρα πράξει πεποιθότες ὦμεν, ἵλεως παράσχου, ὅπως κατὰ πασῶν συμφορῶν τῇ σῇ ἐπιστατείᾳ προτειχισθῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

β. Κορ. ια. 11. Ἡδέως γὰρ ἀνέχεσθε.

Κόμ. ιθ. 19. μέχρι λβ. 32.

Εὐαγγέλιον.

Λουκ. η. 8. Συνιόντος δὲ ὄχλου πολλοῦ.

Κόμ. δ. 4. μέχρι ις. 16.

¶ Κυριακὴ τῆς Πεντηκοστῆς.

ΚΥριε, ὁ διδάξας ἡμᾶς ὅτι πάντα τὰ ἐπιτηδεύματα ἡμῶν ἄνευ τῆς ἀγάπης οὐδενὸς τίθενται, διάπεμψον τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἔγχυσον ἡμετέραις ταῖς καρδίαις τὸ καθ' ὑπερβολὴν προέχον τῆς ἀγάπης δῶρον, τὸ τῆς εἰρήνης τε καὶ πασῶν ἀρετῶν σύνδεσμον, ἧς δίχα πᾶς ὁ ζῶν, ἐνάντιον σοῦ νεκρὸς ἡγεῖται· τοῦτο χάρισαι ἡμῖν, ἕνεκα μοναδικοῦ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Κορ. ιγ. 13. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων.

Κόμ.

Κόμ. α. 1. μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. ιη. 18. Παραλαβὼν δὲ τοὺς δώδεκα.

Κόμ. λα. 31. μέχρι τέλους.

¶ Πρώτη ἡμέρα τῆς Τεσσαρακοστῆς.

ΠΑντοκράτωρ ἀΐδιε Θεὸς, ὁ οὐδὲν μισήσας ὧν ἐποίησας, καὶ πλάσματα πᾶσι τοῖς μετανοοῦσι συγγινώσκων· ἔγκτισον ἡμῖν, καὶ ἐναπόμαξε ἀνακαινωθείσας καὶ συντετριμμένας τὰς καρδίας, ὅπως τὰ παραπτώματα μάλα εἰκότως ὀδυρόμενοι, καὶ τὸν ἀλυσμὸν ἡμῶν ἐξομολογούμενοι, παρὰ σοῦ, πάντων τῶν οἰκτιρμῶν Θεοῦ ὄντος, ὁλοκλήρου τῶν παρεληλυθότων ἀφέσεως ἐπιτύχωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰωήλ. β. 2. Ἐπιστρέψατε πρός με ἐξ ὅλης.

Κόμ. ιβ. 12. μέχρι ιη. 18.

Εὐαγγέλιον.

Ματθ. ς. 6. Ὅταν δὲ νηστεύητε.

Κόμ. ις. 16. μέχρι κβ. 22.

¶ Κυριακὴ πρώτη τῆς Τεσσαρακοστῆς.

ΚΥ΄ριε, ὁ ἡμῶν ἕνεκεν τεσσαράκοντα τὰς ἡμέρας, καὶ τεσσαράκοντα τὰς νύκτας διανηστεύσας· δὸς ἡμῖν χρῆσθαι τοιαύτῃ χρηστῇ ἐγκρατείᾳ, ὥστε τὴν ἡμῶν σάρκα δυνήνιον εἶναι τῷ Πνεύματι, καὶ τοῖς σοῖς ἡμᾶς ἀεὶ ποτ᾽ ἐπιτάγμασιν ἐν ἀληθεῖ πειθαρχεῖν δικαιοσύνῃ, καὶ ἁγιωσύνῃ τοῦ βίου, πρὸς τὴν σὴν τιμὴν καὶ δόξαν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

β. Κορ. ς. 6. Συνεργοῦντες καὶ παρακαλοῦμεν.

Κόμ. α. 1. μέχρι ια. 11.

Εὐαγγέλιον.

Ματθ. δ. 4 Τότε ὁ Ἰησοῦς ἀνήχθη.

Κόμ. α. 1. μέχρι ιβ. 12.

¶ Δευτέρα Κυριακὴ τῆς Τεσσαρακοστῆς.

ΠΑντοκράτωρ Θεὸς, ὁ ἡμᾶς πάσης τῆς δυνάμεως πρὸς τὸ ἑαυτοὺς ὀνῆσαι ὑστεροῦντας ὁρῶν, διατήρησον ἡμᾶς τὰ μὲν ἐνδοτέρω κατὰ ψυχὴν, τά τε ἐξωτέρω κατὰ σῶμα, ἵνα ἀπὸ κακοπραγιῶν τῷ σώματι ἐνδεχομένων, καὶ ἀπὸ πονηρῶν ἐνθυμήσεων τὴν ψυχὴν πολιορκουσῶν τε καὶ λυμαινομένων διαφυλαξώμεθα· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Θεσσ. δ. 4. Τὸ λοιπὸν οὖν, ἀδελφοί.

Κόμ. α. 1 μέχρι θ. 9.

Εὐαγγέλιον.

Ματθ. ιε. 4. Καὶ προβὰς ἐκεῖθεν.

Κόμ. κα. 21. μέχρι τέλους.

¶ Κυριακὴ γ. 3 τῆς Τεσσαρακοστῆς.

ΙΚετεύομέν σε, παντοκράτωρ Θεὸς, ἐπὶ τὰς τῶν ταπεινοφρονούντων δούλων σου λιτὰς ἐπιδεῖν, καὶ τὴν σῆς μεγαλειότητος δεξιὰν, πρὸς τὸν ἡμῶν ὑπερασπισμὸν κατὰ τῶν πολεμίων ἐκτεταμένην ἔχε· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἐφ. ε. 5. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ.

Κόμ. α. 1. μέχρι ιε. 15.

Εὐαγγέλιον.

Λουκ. ια. 11. Καὶ ἦν ἐκβάλλων δαιμόνιον.

Κόμ. ιδ. 14. μέχρι κθ. 29.

¶ Κυριακὴ δ. 4 τῆς Τεσσαρακοστῆς.

ΧΑ΄ρισαι ἡμῖν δεόμεθα, παντοκράτωρ Θεὸς, ἵνα οἱ κατὰ τὴν

τῶν

τῶν πλημμελημάτων ἀξίαν κολαζόμενοι, τῇ τῆς σῆς χάριτος παραμυθίᾳ, τῆς ἀναψύξεως ἀπολαύωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Γαλ. δ. 4. Λέγετέ μοι ὑπὸ νόμον.
Κόμ. κα. 21. μέχρι τέλους.

Εὐαγγέλιον.

Ἰωάν. ς. 6. Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς.
Κόμ. α. 1. μέχρι ιε. 15.

¶ Κυριακὴ ε. 5. Τεσσαρακοστῆς.

Δεόμεθά σου ὁ παντοκράτωρ Θεὸς εὐμενῶς ἐπὶ τὸν σου λαὸν ἐπισκέψασθαι, ὥστε τῇ μεγάλῃ σου χρηστότητι παντελῶς σῶμα καὶ νοῦν εὐθυνέσθαι ἡμᾶς, καὶ διαρκεῖσθαι διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἑβρ. θ. 9. Χριστὸς δὲ παραγενόμενος.
Κόμ. ια. 11. μέχρι ις. 16.

Εὐαγγέλιον.

Ἰωάν. η. 8 Τίς ἐξ ὑμῶν ἐλέγχει με.
Κόμ. μς. 46 μέχρι τέλους.

¶ Κυριακὴ πρὸ τοῦ Πάσχα.

Παντοκράτωρ αἰώνιε Θεὸς, ὁ δι' εὔσπλαγχνον τὴν φιλανθρωπίαν σου τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν ἀποστείλας εἰς τὸ τὴν ἡμετέραν σάρκα ἀπολαβεῖν, καὶ ἐπὶ σταυροῦ τὸν θάνατον ἀνέχειν, ἵνα πᾶν γένος ἀνθρώπειον ἐπακολουθῇ σου ὑποδείγματι τῆς αὐτοῦ ταπεινώσεως ἵλεως χρεῖσαι, ὥστε συμμιμητὰς ὄντας ἡμᾶς ὑπογραμμοῦ τῆς ὑπομονῆς, καὶ συμμετόχους γενέσθαι αὐτοῦ τῆς ἀναστάσεως· δι' αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Φιλ. β. 2. Ἕκαστος τοῦτο γὰρ φρονείσθω.
Κόμ. ε. 5. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Ματ. κς. 26. Καὶ ἐγένετο ὅτι ἐτέλεσεν.
Κόμ. α. 1. μέχρι κεφαλαίου κζ. 27.
Κόμ. νζ. 57.

¶ Ἡμέρα ς. 6. πρὸ τοῦ Πάσχα.

Ἐπιστολή.

Ἡσα. ξγ. 63. Τίς ἐστιν ὁ ἐρχόμενος.
Κόμ. α. μέχρι τέλους.

Εὐαγγέλιον.

Μαρ. ιδ. 14. Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα.
Κόμ. α. 1. μέχρι τέλους.

Ἡμέρα ε. 5. πρὸ τοῦ Πάσχα.

Ἐπιστολή.

Ἡσα. ν. 50. Κύριος ὁ Θεὸς διήνοιξε.
Κόμ. ε. 5. μέχρι τέλους.

Εὐαγγέλιον.

Μαρ. ιε. 15. Καὶ εὐθέως ἐπὶ τὸ πρωΐ.
Κόμ. α. 1. μέχρι τέλους.

¶ Ἡμέρα δ. 4. πρὸ τοῦ Πάσχα.

Ἐπιστολή.

Ἑβρ. θ. 9. Ὅπου γὰρ διαθήκη.
Κόμ. ις. 16 μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. κβ. 22. Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν.
Κόμ. α. 1. μέχρι τέλους.

¶ Ἡμέρα γ. 3. πρὸ τοῦ Πάσχα.

Ἐπιστολή.

α. Κορ. ια. 11. Τοῦτο δὲ παραγγέλλων.
Κόμ. ιζ. 17. μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. κγ. 23. Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος.
Κόμ. α. 1. μέχρι τέλους.

¶ Ἐν ἡμέρᾳ Πάθους τοῦ Κυρίου.

Παντοκράτωρ Θεός, ἀντιβολοῦμεν ἐπὶ τὴν σὴν οἰκίαν φιλανθρώπως ἐπιδεῖν, ὑπὲρ ἧς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὰς χεῖρας τῶν κακούργων προδεδόσθαι, καὶ τὸν τοῦ σταυροῦ θάνατον ὑπομεῖναι ηὐδόκησεν, ὁ σοὶ συζῶν καὶ βασιλεύων σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παντοκράτωρ αἰώνιε Θεός, οὗ τῷ Πνεύματι ὅλον τῆς Ἐκκλησίας σῶμα διοικεῖται, καὶ ἁγιάζεται· προσδέχου ἃς ἐνώπιόν σου ἱκετηείας καὶ αἰτήσεις, ὑπὲρ πάσης καθόλου τῶν ἀνθρώπων ἐν ὁσίᾳ τῇ ἐπισυναγωγῇ σου τάξεως, προσηνέγκομεν· ὥστε ἕκαστον τὸ παράπαν μέλος, ἐν τῇ ἑαυτοῦ κλήσει καὶ ὑπηρεσίᾳ, ὡς ἀληθῶς καὶ εὐσεβῶς λατρεύσασθαί σοι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὃς συζῇ καὶ συμβασιλεύει σοι καὶ Πνεύματι ἁγίῳ. Ἀμήν.

Ἐλεήμων Θεός, ὁ πάντας τοὺς ἀνθρώπους δημιουργήσας, καὶ οὐδὲν ὧν ἐποίησας μισήσας· ὁ μὴ βουλόμενος τὸν θάνατον ἁμαρτωλοῦ, ἀλλὰ μᾶλλον ἵνα ἀποστρέψῃ καὶ ζῇ· ἐλέησον Κύριε τοὺς Ἰουδαίους τε καὶ τοὺς Τούρκους, καὶ τοὺς ἀπίστους, καὶ τοὺς αἱρετικοὺς ὄντας, ἀφαιρῶν αὐτῶν τὴν ἄγνοιαν, τήν τε τῆς καρδίας πώρωσιν, καὶ τὴν τοῦ λόγου σου καταφρόνησιν, οἴκονδε (εὐλογητὲ Κύριε) εἰς τὴν σὴν ἀγέλην κατάγης, ἵνα μετὰ τοῦ λείμματος τῶν ὄντως Ἰσραηλιτῶν διασωθῶσι, καὶ εἰς μίαν αὐλὰν ἐγκαταλεχθῶσιν, ὑφ' ἑνὸς ποιμένος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ συζῶντος καὶ συμβασιλεύοντος καὶ τὰ ἑξῆς. Ἀμήν.

Ἐπιστολή.

Ἑβρ. ι. 10. Σκιὰν γὰρ ἔχων ὁ νόμος.
Κόμ. α. 1. μέχρι ις. 16.

Εὐαγγέλιον.

Ἰωάν. ιη. 18. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς.
Κόμ. α. 1. μέχρι τέλους κεφ. ιθ. 19.

¶ Ἐν ἡμέρᾳ τῆς Παρασκευῆς.

Ἐπιστολή.

β. Πέτ. γ. 3. Κρεῖττον γὰρ ἀγαθοποιοῦντας.
Κόμ. ιζ. 17. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματ. κζ. 27. Ὀψίας δὲ γενομένης.
Κόμ. νζ. 57. μέχρι τέλους.

¶ Ἐν ἑορτῇ τοῦ Πάσχα.

¶ " Ἐν ὀρθρίαις ταῖς εὐχαῖς ἐν
" τάξει· Δεῦτε, ἀγαλλιασώμεθα,
" ταῦτα τὰ τροπάρια ᾄδεσθαι.

Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει· ὃς γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφ' ἅπαξ· ὃς δὲ ζῇ, ζῇ τῷ Κυρίῳ· οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.

Συλλογή.

Παντοκράτωρ Θεός, ὁ διὰ μονογενοῦς σου Υἱοῦ Ἰησοῦ Χριστοῦ τὸν θάνατον νικήσας, καὶ τὴν τῆς ἀϊδίου ζωῆς θύραν ἡμῖν ἀνοίξας· εὐχόμεθα

ρεθά σοι, ἵνα καθὼς σὺ τῇ σῇ ἡμῖν χάριτι φθάσας, τῷ νοῒ ἡμῶν χρηστὰ ἐνεπίθης τὰ ποθήματα· οὕτω ἡμεῖς διηνεκεῖ τῇ σῇ βοηθείᾳ ταῦτα εἰς ἐνήμερον τέλος ἀπαρτίζωμεν· διὰ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ συζῶντος καὶ συμβασιλεύοντός σοι καὶ Πνεύματι ἁγίῳ. Ἀμήν.

Ἐπιστολή.

Κολ. γ. 3. Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ.

Κόμ. ια. 11. μέχρι η. 8.

Εὐαγγέλιον.

Ἰωάν. κ. 20. Τῇ δὲ μιᾷ τῶν σαββάτων.

Κόμ. α. 1. μέχρι ια. 11.

¶ Ἡμέρα. β. 2. ἐν τῷ Πάσχα.

Συλλογὴ ὡς ἄνω ἐν ἡμέρᾳ τοῦ Πάσχα.

Ἐπιστολή.

Πράξ. ι. 10. Ἀνοίξας δὲ Πέτρος τὸ στόμα.

Κόμ. λδ. 34. μέχρι μδ. 44.

Εὐαγγέλιον.

Λουκ. κδ. 24. Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν.

Κόμ. ιγ. 13 μέχρι λϛ. 36.

¶ Ἡμέρα. γ. 3. ἐν τῷ Πάσχα.

ΠΑτερ ὦ παντοδύναμε, ὁ τὸν ἴδιόν σου υἱὸν δωρησάμενος διὰ τὰ παραπτώματα ἡμῶν παραδοθέντα, καὶ διὰ τὴν δικαίωσιν ἡμῶν ἐγερθέντα, χάρισαι ἡμῖν οὕτω παλαιὰν τὴν τῆς κακίας καὶ πονηρίας ζύμην ἐκκαθαρίζειν, ὥστε ἐν τῇ τοῦ βίου εἰλικρινίᾳ τε καὶ ἀληθείᾳ σοι ὑπηρετεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Πράξ. ιγ. 13. Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους.

Κόμ. κϛ. 26 μέχρι μβ. 42.

Εὐαγγέλιον.

Λουκ. κδ. 24. Καὶ αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ.

Κόμ. λϛ. 36. μέχρι μθ. 49.

¶ Κυριακὴ πρώτη μετὰ τὸ Πάσχα.

Παντοκράτωρ Θεὸς, ὁ διὰ μονογενοῦς· καὶ τὰ ἑξῆς, ὡς ἄνω ἐν ἡμέρᾳ τοῦ Πάσχα.

Ἐπιστολή.

α. Ἰωάν. ε. 5. Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ.

Κόμ. δ. 4. μέχρι ιγ. 13.

Εὐαγγέλιον.

Ἰωάν. κ. 20. Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ.

Κόμ. ιθ. 19. μέχρι κδ. 24.

¶ Κυριακὴ δευτέρα μετὰ τὸ Πάσχα.

ΠΑντοκράτωρ Θεὸς, ὁ παρεσχηκὼς τὸν σοῦ Υἱὸν μοναδικὸν, οὐ μόνον θυσίαν ὑπὲρ τῆς ἁμαρτίας, ἀλλὰ καὶ ζωῆς ἀγαθῆς ὑπόγραμμον εἶναι· δὸς ἡμῖν χάριν τὸ τὴν ἀνείκαστον ταύτην εὐεργεσίαν μετὰ τῆς εὐχαριστίας ἀποδέξασθαι, καὶ καθ᾽ ἑκάστην ἐπιτηδεύειν τὴν ἡμέραν ἁγιωτάτης αὐτοῦ τῆς ζωῆς εὐλογητὰ τὰ παραδείγματα μιμεῖσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Πετρ. β. 2. Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν.

Κόμ. ιθ. 19. μέχρι τέλους.

Εὐαγγέλιον.

Ἰωάν. ι. 10. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.

Κόμ. ια. 11. μέχρι ιζ. 17.

¶ Κυριακὴ τρίτη μετὰ τὸ Πάσχα.

ΠΑντοκράτωρ Θεὸς, ὁ τῆς σῆς ἀληθείας φῶς τοῖς ἀλωμένοις

 ἐμφανίσας,

ἐμφανίσαι, ὥστε εἰς τὴν τῆς δικαιοσύνης ὁδὸν ἐπανελθεῖν δυνάσθαι· δώρησαι ἱκετεύομεν ἅπασι, τοῖς ἐν τῇ τῆς Χριστιανικῆς εὐσεβείας κοινωνίᾳ μεμυημένοις τὸ τῶν ἐναντίων ταύτῃ τῇ ἐξομολογήσει ἀποτρέπεσθαί τε, καὶ τοῖς αὐτῇ συμφωνοῦσιν ἐπακολουθεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Πέτ. β. 2. Ἀγαπητοί, παρακαλῶ ὡς.

Κόμ. ια. 11. μέχρι ιη. 18.

Εὐαγγέλιον.

Ἰωάν. ις. 16. Μικρὸν, καὶ οὐ θεωρεῖτέ με.

Κόμ. ις. 16. μέχρι κγ. 23.

¶ Κυριακὴ τετάρτη μετὰ τὸ Πάσχα.

ΠΑντοκράτωρ Θεός. ὁ τὰς τῶν πιστῶν διανοίας μιᾶς εἶναι βουλήσεως ποιήσας, δὸς τῷ σοῦ λαῷ τὸ ἀγαπᾷν ἃ προστάττεις, καὶ ἱμείρεσθαι ὧν ἐπαγγέλλεις, ὥστε ἐν ταῖς ποικίλαις τε καὶ πολλαπλασίαις τοῦ κόσμου μεταβολαῖς, ἐκεῖ τὰς ἡμῶν καρδίας βεβαίως πεπῆχθαι, ὅπου μὲν ἀληθινὰς τὰς χαρὰς εὑρεῖν ἐστι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰακώ. α. 1. Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν.

Κόμ. ιζ. 17. μέχρι κβ. 22.

Εὐαγγέλιον.

Ἰωάν. ις. 16. Νῦν δὲ ὑπάγω πρὸς τόν.

Κόμ. ε. 5. μέχρι ις. 16.

¶ Κυριακὴ πέμπτη μετὰ τὸ Πάσχα.

ΚΎριε, ἀφ' οὗ πάντα τὰ ἀγαθὰ ἀπορρέει, χάρισαι τοῖς σε ἱκετεύουσι δούλοις, καθὼς τῆς σῆς μετὰ χυσιν ἐμπνοίας, τὰ χρηστὰ λογίζεσθαι, οὕτω καὶ σῇ ἐλεημοσύνῃ [...] αὐτὰ ἐπιτελεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰακώ. α. 1. Γίνεσθε δὲ ποιηταὶ λόγου.

Κόμ. κβ. 22. μέχρι τέλους.

Εὐαγγέλιον.

Ἰωάν. ις. 16. Ἀμὴν ἀμὴν λέγω ὑμῖν.

Κόμ. κγ. 23. μέχρι τέλους.

¶ Ἐν ἡμέρᾳ τῆς τοῦ Κυρίου Ἀναβάσεως.

ΠΑράσχου ἡμῖν, παντοκράτωρ Θεός, ἵνα οἱ μονογενῆ τὸν Υἱόν σου εἰς τοὺς οὐρανοὺς ἀναβεβηκότα πιστεύσαντες, ἐνταῦθα τῇ καρδίᾳ ἀναβάντες, ἀδιαπαύστως κατοικῶμεν διὰ τοῦ αὐτοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Πράξ. α. 1. Τὸν μὲν πρῶτον λόγον.

Κόμ. α. 1. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Μάρκ. ις. 16. Ὕστερον, ἀνακειμένοις αὐτοῖς.

Κόμ. ιδ. 14. μέχρι τέλους.

¶ Κυριακὴ μετὰ τὴν Ἀνάβασιν.

ὉΘεὸς βασιλεῦ τῆς δόξης, ὁ τὸν μονογενῆ Υἱόν σου Ἰησοῦν Χριστὸν μετὰ μεγάλου τοῦ θριαμβεύσεως ὑπερυψώσας· οὐκ ἄφες ἡμᾶς ὀρφανοὺς ἀποξενουμένους ἱκετεύομεν, ἀλλὰ κατάπεμψον ἡμῖν τὸ Πνεῦμά σου τὸ ἅγιον, ἐπὶ τὸ παρηγορῆσαι ἡμᾶς, καὶ εἰς ἐκεῖνον τὸν τόπον ὑψῶσαι, πρὸς ὃν ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς πρότερον ἤρθη·

ἤρθη, ὁ συζῶν καὶ συμβασιλεύων σοι καὶ Πνεύματι ἁγίῳ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιστολή.

α. Πέτ. δ. 4. Πάντων δὲ τὸ τέλος ἤγγικε.

Κόμ. ζ. 7. μέχρι ιβ. 12.

Ἐυαγγέλιον.

Ἰωάν. ιε. 15. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος.

Κόμ. κϛ. 26. μέχρι κεφ. ιϛ. 16. Κόμ. δ. 4.

¶ Κυριακὴ τῆς Πεντηκοστῆς.

Θεὸς, ὁ τῇ σήμερον ἡμέρᾳ, πιστοῦ τοῦ λαοῦ σου καρδίας ἐδιδάξω, τὸ τοῦ Πνεύματος ἁγίου φέγγος καταπέμπων· δὸς ἡμῖν αὐτῷ τῷ Πνεύματι τὰ ὀρθὰ φρονεῖν, καὶ ἐν τῇ αὐτοῦ ἁγίᾳ παρακλήσει πανταχοῦ χαίρειν· διὰ τῆς ἀξίας Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, τοῦ σοι συζῶντος καὶ βασιλεύοντος, ἐν τῇ μονάδι τοῦ αὐτοῦ ἁγίου Πνεύματος, εἷς Θεὸς εἰς αἰῶνας. Ἀμήν.

Ἐπιστολή.

Πράξ. β. 2. Καὶ ἐν τῷ συμπληροῦσθαι.

Κόμ. α. 1. μέχρι ιβ. 12.

Ἐυαγγέλιον.

Ἰωάν. ιδ. 14. Ἐὰν ἀγαπᾶτε ἐμὲ, τὰς ἐντολάς.

Κόμ. ιε. 15. μέχρι τέλους.

¶ Ἡμέρα β. 2. Ἐν τῇ Πεντηκοστῇ.

Θεὸς, ὁ τῇ σήμερον ἡμέρᾳ πιστοῦ. Καὶ τὰ ἑξῆς. Ὡς καὶ ἐν Κυριακῇ τῆς Πεντηκοστῆς.

Ἐπιστολή.

Πράξ. ι. 10. Ἀνοίξας δὲ Πέτρος τὸ στόμα.

Κόμ. λδ. 34. μέχρι τέλους.

Ἐυαγγέλιον.

Ἰωάν. γ. 3. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεός.

Κόμ. ιϛ. 16. μέχρι κβ. 22.

¶ Ἡμέρα γ. 3. ἐν τῇ Πεντηκοστῇ.

Θεὸς, ὁ τῇ σήμερον. Καὶ τὰ ἑξῆς, ὡς ἄνω ἐν Κυριακῇ.

Ἐπιστολή.

Πράξ. η. 8. Ἀκούσαντες δὲ οἱ ἐν Ἱερουσαλ.

Κόμ. ιδ. 14 μέχρι ιη. 18.

Ἐυαγγέλιον.

Ἰωάν. ι. 10. Ἀμὴν ἀμὴν λέγω ὑμῖν.

Κόμ. α. 1. μέχρι ια. 11.

¶ Κυριακὴ παναγίας τῆς Τριάδος.

Παντοκράτωρ καὶ ἀΐδιε Θεὸς, ὁ ἡμῖν τοῖς σοῖς δούλοις χαρισάμενος, ἐν τῇ τῆς ἀληθοῦς πίστεως ὁμολογίᾳ τὴν τῆς αἰωνίου Τριάδος δόξαν ἐπιγινώσκειν, καὶ ἐν τῇ τῆς μεγαλειότητος δυνάμει τὴν μονάδα σέβεσθαι· δεόμεθά σου, ἵνα τῇ ταύτης τῆς πίστεως στερρότητι πάσης δυσπραγίας ἀπαλλαγῶμεν· ὃς ζῇς καὶ βασιλεύεις εἷς Θεὸς εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιστολή.

Ἀποκ. δ. 4. Μετὰ ταῦτα εἶδον, καὶ ἰδού.

Κόμ. α. 1. μέχρι τέλους.

Ἐυαγγέλιον.

Ἰωάν. γ. 3. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν.

Κόμ. α. 1 μέχρι ιϛ. 16.

¶ Κυριακὴ πρώτη μετὰ τὴν Τριάδα.

Ὁ Θεὸς, ὁ πάντων τῶν ἐπί σοι πεποιθότων ἰσχὺς ὤν, εὐσπλάγχνως

ζωας τὰς ἡμῶν ἱκετηρίας προσδέξαι καὶ ἐπεὶ ἄνευ σοῦ ἡ τῆς ἡμετέρας θνητῆς φύσεως ἀσθένεια, οὐχ οἷά τ' ἐστιν, οὐδ' ὅ, τι οὖν ἀγαθὸν ἀπεργάσασθαι· παράσχου ἡμῖν τὴν τῆς σῆς χάριτος βοήθειαν, ἐφ' ᾧ ἐν τῷ παρατηρῆσαι τὰς ἐντολάς σου, νοῒ καὶ ἔργῳ, σοὶ εὐαρεστούντως ἔχειν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Ἰωάν. δ. 4. Ἀγαπητοὶ, ἀγαπῶμεν ἀλλήλους.

Κόμ. ζ. 7. μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. ιϛ. 16. Ἄνθρωπός δέ τις ἦν πλούσιος.

Κόμ. ιθ. 19. μέχρι τέλους.

¶ Κυριακὴ β. 2. Τριάδος.

ΤΟῦ ἁγίου σοῦ ὀνόματος, Κύριε, τὸν φόβον τε καὶ τὴν ἀγάπην ἡμῖν διηνεκῆ ἐμποίησον, ὅτι οὓς ἅπαξ ἐν τῷ τῆς σῆς ἀγάπης στερεώματι νουθετεῖς, βοηθῶν τε καὶ κυβερνῶν οὐδέποτε ἀπολείπεις· τοῦτο χάρισαι, Κύριε, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Ἰωάν. γ. 3. Μὴ θαυμάζετε ἀδελφοί μου.

Κόμ. ιγ. 13. μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. ιδ. 14. Ἄνθρωπός τις ἐποίησε δεῖπνον.

Κόμ. ιϛ. 16. μέχρι κη. 28.

¶ Κυριακὴ γ. 3. τῆς Τριάδος.

ΔΕόμεθά σου Κύριε, εὐμενῶς ἡμῶν εἰσάκουσον, καὶ οἷς διάπυρον πρὸς τὸ δεῖσθαι διάθεσιν ἔδωκας, τῷ σῷ ἀσφάλισον ὑπερασπισμῷ· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Πετρ. ε. 5. Πάντες δὲ ἀλλήλοις ὑποτασσ.

Κόμ. ε. 5. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Λουκ. ιε. 15. Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ.

Κόμ. α. 1. μέχρι ια. 11.

¶ Κυριακὴ δ. 4. Τριάδος.

Ὁ Θεὸς, ὁ πάντων ἐπὶ σοὶ ἠλπικότων σκεπαστὴς ὤν, χωρὶς οὗ μηδὲν ἰσχυρὸν πέφυκε, μηδὲν ἅγιον· αὔξησον ἐφ' ἡμῖν, καὶ πλήθυνον τὸ ἔλεός σου, ὥστε ἡγεμονεύοντός σου καὶ προστατεύοντος ἡμῖν, οὕτω τὰ πρόσκαιρα διαπερᾶν, ἐφ' ᾧ μὴ τῶν αἰδίων ὑστερῆσαι· τοῦτο χάρισαι, Πάτερ οὐράνιε, ἕνεκεν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ῥωμ. η. 8. Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια.

Κόμ. ιη. 18. μέχρι κδ. 24.

Εὐαγγέλιον.

Λουκ. ϛ. 6. Γίνεσθε οὖν οἰκτίρμονες.

Κόμ. λϛ. 36. μέχρι μγ. 43.

¶ Κυριακὴ ε. 5. Τριάδος.

ΠΑράσχου ἡμῖν, ἱκετεύομεν Κύριε, ὅπως εἰρηνικὸν (σοῦ διιθύνοντος) τόνδε τοῦ κόσμου δρόμον, ὅπως ἡ Ἐκκλησία σου ἐν ἀταραχίᾳ τῇ εὐσεβείᾳ χαίρουσα, θεραπεύῃ σοί· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Πετ. γ. 3. Τὸ δὲ τέλος, πάντες ὁμόφρονες.

Κόμ. η. 8. μέχρι ιε. 15.

Εὐαγγέλιον.

Λουκ. ε. 5. Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον.

Κόμ. α. 1. μέχρι ιβ. 12.

¶ Κυρι-

¶ Κυριακὴ ϛ. 6. Τριάδ☉.

Ο Θεὸς, ὁ τοῖς ἀγαπῶσί σε τὰ ἀγαθὰ ὑπερέχοντα πάντα τ̃ νοῦν ἑτοιμάσας· ἔγχεον ἐν ἡμῶν καρδίαις τοιαύτην εἰς σὲ ἀγάπην, ὅπως ἐπὶ πᾶσιν ἀγαπῶντές σε, τῶν σῶν ὑποσχέσεων τῶν ἡμετέρας ἐπιπόθιας καὶ ἐξοχὴν διαφερουσῶν ἐπιτύχωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ρ'ω.ϛ. 6. Ἠ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθ.

Κόμ. γ. 3. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Ματ. ε. 5. Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μή.

Κόμ. κ. 20. μέχρι κζ. 27.

¶ Κυριακὴ ζ. 7. Τριάδ☉.

Ω τῶν δυνάμεων δέσποτα Κύριε, ὁ πάντων τῶν ἀγαθῶν δοτὴρ καὶ χορηγὸς ὤν, ἐν ταῖς ἡμῶν διανοίαις τοῦ ὀνόματός σου τὴν ἀγάπην ἐγκέντρισον, τὴν τ̃ ἀληθοῦς λατρείας προκοπὴν ἡμῖν ἐμποίησον, ἐν ἁπάσῃ τῇ ἀγαθωσύνῃ ἡμᾶς διαθρέψον, καὶ ἐν αὐτῇ διὰ τοῦ μεγάλου ἐλέους σου ἡμᾶς συντήρησον· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ρ'ω.ϛ. 6. Ἀνθρώπινον λέγω, διὰ τὴν.

Κόμ. ιθ. 19. μέχρι τέλους.

Εὐαγγέλιον.

Μάρκ. η. 8. Ἐν ἐκείναις ταῖς ἡμέραις.

Κόμ. α. 1. μέχρι ι. 10.

¶ Κυριακὴ η. 8. Τριάδ☉.

Ο Θεὸς, οὗ τιν☉ ἡ πρόνοια μηδαμοῦ ψεύδεται ἱκετεύομέν σε, πάντα τὰ ἐπιβλάζοντα ἡμῖν ἀπώσασθαι, καὶ τὰ ἡμῖν συνοίσοντα ἐπιδαψιλεύεσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ρ'ωμ. η. 8. Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται.

Κόμ. ιβ. 12. μέχρι ιη. 18.

Εὐαγγέλιον.

Ματ. ζ. 7. Προσέχετε δὲ ἀπὸ τῶν ψευδ.

Κόμ. ιε. 15. μέχρι κβ. 22.

¶ Κυριακὴ θ. 9. Τριάδ☉.

Δώρησαι ἡμῖν Κύριε, δεόμεθά σου, τὸ πνεῦμα τοῦ διαλογίζεσθαί τε καὶ ἐργάζεσθαι τὰ ὄντως ὀρθὰ· ἵνα οἱ ἄνευ σοῦ ὑπάρχειν οὐκ ἰσχύοντες, παρὰ σοῦ κρατυνθέντες, κατὰ τὸ θέλημά σου διάγειν τ̃ βίον δυνηθῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Κορ. ι. 10. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν.

Κόμ. α. 1. μέχρι ιδ. 14.

Εὐαγγέλιον.

Λουκ. ιϛ. 16. Ἔλεγε δὲ πρὸς τοὺς μαθ.

Κόμ. α. 1. μέχρι ι. 10.

Κυριακὴ ι. 10. Τριάδ☉.

ΑΝεῴχθω τὰ ὦτα τοῦ σοῦ ἐλέους Κύριε, ταῖς ἱκετηρίαις τῶν σε προσκυνησάντων, καὶ πρὸς τὸ ἐπιτυχεῖν ὧν δέονται, ποίησον αὐτοὺς αἰτεῖν τὰ σοὶ ἀρέσκοντα· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Κορ. ιβ. 12. Περὶ δὲ τῶν πνευματικῶν.

Κόμ. α. 1. μέχρι ιδ. 14.

Εὐαγγέλιον.

Εὐαγγέλιον.

Λουκ. ιθ. 19. Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν.

Κόμ. μα. 41. μέχρι μζ. 47.

Οἱ ἀρχιερεῖς δέ.

¶ Κυριακὴ ια. 11. Τριάδος.

Ὁ Θεὸς, ὁ τὴν σὴν παντοκρατορείαν ἐν τῷ φείδεσθαι, καὶ οἰκτείρειν, μάλιστα ἐμφανίζων· πλήθυνον ἐφ' ἡμῖν τὸ ἔλεός σου, ἵνα ἡμῖν ἐπὶ τὰς σὰς τρέχουσιν ἐπαγγελίας τῶν αἰωνίων σου θησαυρῶν μεταδῷς· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α. Κορ. ιε. 15. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί.

Κόμ. α. 1. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Λουκ. ιη. 18. Εἶπε δὲ πρός τινας τοὺς πεποιθότας.

Κόμ. θ. 9 μέχρι ιε. 15.

¶ Κυριακὴ ια. 12 Τριάδος.

Παντοκράτωρ αἰώνιε Θεὸς, ὃς τυγχάνεις ὢν εἰς τὸ τὰς αἰτήσεις ἡμῶν προσδέξασθαι, συγκατάφορος μᾶλλον, ἢ ὡς ἂν ἡμεῖς αἰτώμεθα, εἴωθάς τε πολὺ φέρτερα ὧν ἤτοι δεόμεθα, ἢ δὲ ἀξιούμεθα χαρίζεσθαι· ἔγχεον ἐφ' ἡμᾶς τὸ περιούσιμα τῶν οἰκτιρμῶν σου, ἀφεὶς ἡμῖν ἀφ' ὧν τὰ συνειδότα ἐν ὀρρωδίᾳ ἔχει, καὶ χορηγῶν ὧν δεῖσθαι οὐδὲ αἱ προσευχαὶ τετολμήκασι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

β. Κορ. γ. 3. Πεποίθησιν δὲ τοιαύτην.

Κόμ. δ. 4 μέχρι ι. 10.

Εὐαγγέλιον.

Μάρκ. ζ. 7. Καὶ πάλιν ἐξελ[θὼν] ἐκ τῶν.

Κόμ. λα. 31. μέχρι τέλους.

¶ Κυριακὴ ιγ. 13. τῆς Τριάδος.

Παντοκράτωρ καὶ ἵλεως Θεὸς, [...] οὗ τῆς φιλοδωρείας γίγνεται [...] ὁ πιστός σου λαὸς ἵνα σοι τὴν καὶ αἰνετ[ὴν] ὑπηρεσίαν προσάπτειν ἐδύνατ[αι] δὸς ἡμῖν οὕτω πρὸς τὰς σὰς ὑποσχέσεις τρέχειν, ὥστε αὐτῶν οὐδαμῶς ἀποστερηθῆναι· διὰ Ἰησοῦ Χριστοῦ τ[οῦ] Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Γαλ. γ. 3. Τῷ δὲ Ἀβραὰμ ἐρρή[θησαν].

Κόμ. ις. 16. μέχρι κγ. 23.

Εὐαγγέλιον.

Λουκ. ι. 10. Μακάριοι οἱ ὀφθαλ[μοί].

Κόμ. κγ. 23. μέχρι λη. 38.

¶ Κυριακὴ ιδ. 14. τῆς Τριάδος.

Παντοκράτωρ ἀΐδιε Θεὸς, χάρισαι ἡμῖν τὴν τῆς πίστεως ἐλπίδος τε καὶ ἀγάπης ἐπίδοσιν· [...] πρὸς τὸ τῶν παρὰ σοῦ ὑπεσχημένων ἐφάπτεσθαι, ποίησον ἡμᾶς [...] ὑπὸ σοῦ προσταχθέντα ἀγαπᾶ[ν] διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶ[ν]. Ἀμήν.

Ἐπιστολή.

Γαλ. ε. 5. Λέγω δὲ πνεύματι περιπατεῖτε.

Κόμ. ις. 16 μέχρι κε. 25.

Εὐαγγέλιον.

Λουκ. ιζ. 17. Καὶ ἐγένετο ἐν τ[ῷ] πορεύεσθαι.

Κόμ. ια. 11 μέχρι κ. 20.

¶ Κυριακὴ ιε. 15. τῆς Τριάδος.

Διατήρησον, ἀντιβολοῦμέν σε Κύριε, διηνεκεῖ τῷ ἐλέει σου τὴν

τὴν σὴν Ἐκκλησίαν· καὶ ἐπειδὴ ἄνευ σου ἀνάγκη τὴν ἀνθρωπίνην ἀσθένειαν ἐυπαράπτωτον πεφυκέναι, τῇ σῇ βοηθείᾳ διαφύλαξον ἡμᾶς, καὶ ἐπὶ τὰ πρὸς σωτηρίαν χρήσιμα ὁδήγησον· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Γαλ. ϛ. 6. Ἴδετε πηλίκοις ὑμῖν γράμμασι.

Κόμ. ια. 11. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματθ. ϛ. 6. Οὐδεὶς δύναται δυσὶ Κυρίοις.

Κόμ. κδ. 24. μέχρι τέλους.

¶ Κυριακὴ ιϛ. 16. τ Τριάδος.

ΚΑθαιρέτω καὶ ὀχυρούτω, Κύριε, τὴν σὴν Ἐκκλησίαν ὁ συνεχὴς σου οἰκτιρμός. καὶ γὰρ ἄνευ τῆς σῆς προστατείας οὐκ οἶά τ' ἐστὶν ἐν τῇ ἀσφαλείᾳ μένειν, σῶσον αὐτὴν παντάπασι τῇ σῇ ἐπικουρίᾳ τε καὶ ἀγαθοεργείᾳ· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἐφε. γ. 3. Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν.

Κόμ. ιγ. 13. μέχρι τέλους.

Εὐαγγέλιον.

Λουκ. ζ. 7. Καὶ ἐγένετο ἐν τῇ ἑξῆς.

Κόμ. ια. 11. μέχρι ιη. 18.

¶ Κυριακὴ ιζ. 17. τ Τριάδος.

ΦΘασάτω ἡμᾶς, Κύριε, καὶ ἀκολουθησάτω ἡ σὴ ἀεὶ χάρις, ἀγαθοῖς ἡμᾶς ἔργοις προσκειμένους ἀπεργαζομένη· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἐφεσ. δ. 4. Παρακαλῶ οὖν ὑμᾶς ἐγώ.

Κόμ. α. 1. μέχρι ζ. 7.

Εὐαγγέλιον.

Λουκ. ιδ. 14. Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν.

Κόμ. α. 1. μέχρι ιβ. 12.

¶ Κυριακὴ ιη. 18. τ Τριάδος.

ΧΑ'ρισαι τῷ λαῷ σου, ἱκετεύομεν Κύριε, τοὺς τοῦ διαβόλου μολυσμοὺς ἐυλαβεῖσθαι, καὶ σοὶ, τῷ μόνῳ ὄντι ἀληθινῷ Θεῷ, ἁγνῇ τῇ διανοίᾳ ἀκολουθεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

α Κορ. α. 1. Εὐχαριστῶ Θεῷ μου.

Κόμ. δ. 4. μέχρι θ. 9.

Εὐαγγέλιον.

Ματθ. κβ. 22. Οἱ Φαρισαῖοι ἀκούσαντες.

Κόμ. λδ. 34. μέχρι τέλους.

¶ Κυριακὴ ιθ. 19. τ Τριάδος.

ΕΠειδὴ ἄνευ σου Κύριε οὐκ οἷοί τέ σοι τυγχάνομεν ὄντες ἀρέσκειν· ἡ τοῦ σοῦ ἐλέους ἐνέργεια τὰς ἡμῶν καρδίας ἐυθυνέτω· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἐφε δ. 4. Τοῦτο οὖν λέγω, καὶ μαρτύρομαι.

Κόμ. ιζ. 17. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματθ. θ. 9. Καὶ ἐμβὰς εἰς τὸ πλοῖον.

Κόμ. α. 1. μέχρι θ. 9.

¶ Κυριακὴ κ. 20. τ Τριάδος.

ΠΑντοκράτωρ καὶ ἐλεήμων Θεὸς, ὅτι τ μεγαλοδόξου σου χρηστότητος ἅπαντα τὰ ἐχθρὰ ἡμῖν Ἀπόστησον, ὥστε τό τε σῶμα ἡμᾶς καὶ

 τὴν

τίω ψυχίω ἡτοιμασμένυς, τὰ σοὶ δοκῦντα προθύμως ἀπεργάζεσθαι· διὰ Ἰησοῦ Χειςοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμίω.

Ἐπιςολή.

Ἐφεσ. ε. 5. Βλέπετε οὖν πῶς ἀκειβῶς.

Κόμ. ιε. 15. μέχει κϛ. 22.

Ἐυαγγέλιον.

Ματθ. κβ. 22. Ὡμοιώθη ἡ βασιλεία τῶν.

Κόμ. ϛ. 2. μέχει ιε. 15.

¶ Κυειακὴ κα. 21. τ Τειάδ☉.

ΠΑρακαλοῦμεθα, ἐλεήμων Κύειε, πιςῷ τῷ λαῷ σου συγγνώμίω τε καὶ εἰρίωην, ὥστε ἀπλαδῶν αὐδρπίας καθαρμθύω, ἡσύχῳ τῇ διανοίᾳ ἐςαθεὶ σοι λατρεύσασθαι· διὰ Ἰησοῦ Χειςοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμίω.

Ἐπιςολή.

Ἐφεσ. ϛ. 6. Τὸ λοιπὸν, ἀδελφοί μου.

Κόμ. ι. 10. μέχει τέλους.

Ἐυαγγέλιον.

Ἰωάν. δ. 4. Καὶ ἦν τις βασιλικὸς, οὗ ὁ ὑιός.

Κόμ. μϛ. 46. μέχει τέλους.

¶ Κυειακὴ κβ. 22. τ Τειάδ☉.

ἘΚκλησίαν τίω σίω οἶσαι οἰκίαν ἐν σωεχεῖ τῇ εὐσεβείᾳ διατήρησον, ἀντιβολοῦμθύ Κύειε, ἐφ' ᾧ πασῶν συμφορῶν, (σοῦ ἀντιλαβόντ☉) ἐλευθερωθεῖσαν, εἰς τὸ σοὶ ὑπηρετεῖν παντοίαις πράξεσιν ἀγαθαῖς, εὐλαβῶς ἑαυτίω διδόναι, πρὸς τίω δόξαν τοῦ ὀνόματός σου· διὰ Ἰησοῦ Χειςοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμίω.

Ἐπιςολή.

Φιλ. α. 1. Ἐυχαειςῶ τῷ Θεῷ μου.

Κόμ. ϛ. 3. μέχει ιβ. 12.

Ἐυαγγέλιον.

Ματθ. ιη. 18. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρ☉.

Κόμ. κα. 21. μέχει τέλους.

¶ Κυειακὴ κϛ. 23. τ Τειάδ☉.

ὉΘεὸς, ὁ ἡμῶν καταφυγὴ καὶ δύναμις ὢν, ὁ μόν☉ πάσαι εὐσέβειαν χορηγῶν, εὐπρόσφορ☉ γίνου πρὸς τὸ ἐνωπίσαι τ σῆς Ἐκκλησίας δεήσεις, καὶ χάρισαι ἵνα ὧν πισῶς ἀξιοῦμθυ, ἐνεργῶς ἐπιτύχωμθυ· διὰ Ἰησοῦ Χειςοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμίω.

Ἐπιςολή.

Φιλιπ. γ. 3. Συμμιμηταί μου γίνεσθε.

Κόμ. ιζ. 17. μέχει τέλους.

Ἐυαγγέλιον.

Ματθ. κβ. 22. Τότε πορευθέντες οἱ Φαρι.

Κόμ. ιε. 15. μέχει κϛ. 23.

¶ Κυειακὴ κδ. 24. τ Τειάδ☉.

ΔΕόμεθά σου Κύειε, τῷ λαῷ σου τὰ αὐτῶν παραπτώματα συγχωρεῖν, ὥστε παρὰ τ σῆς μεγαλοδώρου χρηςότητ☉, ἀπὸ τῶν παγίδων ἁμαρτίας, ἃς διὰ τίω ἡμῶν ἀσθένειαν ἡμαρτηκαμθυ, τῇ σῇ εὐμθυείᾳ ῥυσθῶμθυ· διὰ Ἰησοῦ Χειςοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμίω.

Ἐπιςολή.

Κολ. α. 1. Ἐυχαειςοῦμθυ τῷ Θεῷ, καί.

Κόμ. γ. 3. μέχει ιϛ. 13.

Ἐυαγγέλιον.

Ματθ. θ. 9. Ταῦτα αὐτοῦ λαλοῦντ☉.

Κόμ.

Κόμ. ιη. 18. μέχρι κζ. 27.

¶ Κυριακὴ κε. 25. τῆς Τριάδος.

ΠΑρόξυνον, ἱκετεύομεν Κύριε, τὰ τῶν πιστῶν σου βουλήματα, ἵνα τοὺς τῶν ἀγαθῶν ἔργων καρποὺς ἐκφέροντες, μείζονα κομίζεσθαι τῆς σῆς φιλανθρωπίας δῶρα δυνηθῶσι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἱερε. κγ. 23. Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος.

Κόμ. ε. 5. μέχρι θ. 9.

Εὐαγγέλιον.

Ἰωάν. ϛ. 6. Ἐπάρας οὖν ὁ Ἰησοῦς.

Κόμ. ε. 5. μέχρι ιε. 15.

¶ "Δῆτα πλείους ἄλλαι παρεμβληθῶσι Κυριακαὶ, ἡ Συλλογὴ, Ἐπιστολή τε, καὶ Εὐαγγέλιον ἀναληφθήσονται, ἀπὸ ἐν Κυριακαῖς μεταξὺ τῶν Ἐπιφανίων καὶ τῆς Ἑβδομηκοστῆς παρελείφθη."

¶ Ἐν ἡμέρᾳ Ἀνδρέου τοῦ Ἀποστόλου.

ΠΑντοκράτωρ Θεὸς, ὁ τοιαύτην τῷ ἁγίῳ σου Ἀποστόλῳ Ἀνδρέᾳ χάριν διαδοὺς, ἵνα τῷ Υἱῷ σου Ἰησοῦ Χριστῷ καλοῦντι ὡς αὐτίκα πειθήνιος ᾖ, καὶ αὐτῷ ἀπροφασίστως ἀκολουθῇ· παράσχου δεόμεθα, ὅπως ἡμεῖς ὑπὸ τοῦ σοῦ λόγου κεκλημένοι, πρὸς τὸ τοῖς σοῖς ἁγίοις ἐντάλμασιν ἀκολουθεῖν, ἑαυτοὺς καθηκόντως ἐκ τοῦ παραχρῆμα ἐνδῶμεν· διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ῥωμ. ι. 10. Ὅτι ἐὰν ὁμολογήσῃς:

Κόμ. θ. 9. μέχρι τέλους.

Εὐαγγέλιον.

Ματθ. δ. 4. Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ.

Κόμ. ιη. 18. μέχρι κγ. 23.

¶ Ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ Ἀποστόλου.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὃ, διὰ τὴν μείζω τῆς πίστεως βεβαίωσιν, τὸν ἅγιον Ἀπόστολόν σου Θωμᾶν περὶ τῆς τοῦ Υἱοῦ ἀναστάσεως ἐνδοιάζοντα εἰάσας· παράσχου ἡμῖν τὸ στεῤῥῶς καὶ ἀναμφισβητήτως πιστεύειν εἰς τὸν Υἱόν σου Ἰησοῦν Χριστὸν, ἵνα καὶ πίστις ἡμῶν ἐναντίον σου ἀμώμητος διατελῇ· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἐφεσ. β. 2. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι.

Κόμ. ιθ. 19. μέχρι τέλους.

Εὐαγγέλιον.

Ἰωάν. κ. 20. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα.

Κόμ. κδ. 24. μέχρι τέλους.

¶ Ἐν ἡμέρᾳ τῆς ἐπιστροφῆς ἁγίου τοῦ Παύλου.

ΟΘεὸς, ὁ τῇ τοῦ ἁγίου Παύλου Ἀποστόλου κηρύξει πᾶσαν τὴν οἰκουμένην διδάξας, χάρισαι ἡμῖν δεόμεθα, ἵνα ἡμεῖς θαυμαστῆς τῆς αὐτοῦ μνείαν ποιοῦντες ἐπιστροφῆς, τῇ σῇ διδαχῇ παρ' αὐτοῦ πεπαιδευμένῃ, αὐτὴν ἀναπληροῦντες, ἀκολουθῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Πράξ. θ. 9. Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων.

Κόμ. α. 1. μέχρι κγ. 23.

 Εὐαγγέ-

Ε'υαγγέλιον.

Ματθ. ιθ. 19. Τότε ἀποκριθεὶς ὁ Πέτρος.

Κόμ. κζ. 27. μέχρι τέλυς.

¶ Ε'ν ἡμέρα τῦ Καθαρισμῦ τῆς Παρθένε Μαρίας.

ΠΑντοκράτωρ Θεὸς, τὴν σὴν ἱκετεύομεν μεγαλειότητα, ἵνα, καθὼς ὁ μονογενής συ Υ'ιὸς, ἐν τῇ τῆς ἡμετέρας σαρκὸς ἐσίᾳ σήμερον ἐν τῷ ἱερῷ σοι παρεστάθη, ἔτω ποιήσῃς ἡμᾶς κεκαθαρμένην ἔχοντας τὴν διάνοιάν σοι παραστᾶθῆναι· διὰ τῦ αὐτῦ Ι'ησῦ Χριςῦ τῦ Κυρίε ἡμῶν. Α'μήν.

Ε'πιςολή.

Καθὼς ἐν τῇ ἄνω Κυριακῇ.

Ε'υαγγέλιον.

Λεκ. β. 2. Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι.

Κόμ. κβ. 22. μέχρι κζ. 27.

¶ Ε'ν ἡμέρα ἁγίε τῦ Ματθίε Α'ποςόλε.

ΠΑντοκράτωρ Θεὸς, ὁ, ἐν τάξει Ι'έδα τῦ προδότε, τ̃ πιςόν συ δῦλον τ̃ Ματθίαν κληρώσας, ὥςε προσαπόγραφον εἶναι τοῖς δώδεκα Α'ποςόλοις· δώρησαι ὅπως Ε'κκλησία συ ἀπὸ τῶν ψευδαποςόλων διαφυλαχθεῖσα, ὑπὸ πιςῶν κὴ τῶν ὄντως ποιμένων διαταχθῇ τε κὴ κυβερνηθῇ· διὰ Ι'ησῦ Χριςῦ τῦ Κυρίε ἡμῶν. Α'μήν.

Ε'πιςολή.

Πράξ. α. 1. Καὶ ἐν ταῖς ἡμέραις ταύταις.

Κόμ. ιε. 15. μέχρι τέλυς.

Ε'υαγγέλιον.

Ματθ. ια. 11. Ε'ν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς.

Κόμ. κε. 25. μέχρι τέλυς.

¶ Ε'ν ἡμέρα ᾗ ἀνηγγέλθη τῇ Μαρία ἡ Θεοτοκία.

ΕΥ'χόμεθα Κύριε, τὴν σὴν χάριν, ἐν ταῖς ἡμῶν καρδίαις, ἵνα οἱ τὴν τῦ Υ'ιῦ συ ἐνσάρκωσιν τῇ τῦ Α'γγέλε πρεσβείᾳ ἐγνωκότες, διὰ τῦ αὐτῦ ςαυρῦ τε κὴ πάθυς εἰς τὴν τῆς ἀναςάσεως δόξαν εἰσαγώμεθα· δι' αὐτῦ Ι'ησῦ Χριςῦ τῦ Κυρίε ἡμῶν. Α'μήν.

Ε'πιςολή.

Η'σαΐε. ζ. 7. Καὶ Κύριος πάλιν ἔλεγε.

Κόμ. ι. 10. μέχρι ις. 16.

Ε'υαγγέλιον.

Λεκ. α. 1. Ε'ν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεςάλη.

Κόμ. κς. 26. 22 μέχρι λθ. 39.

¶ Ε'ν ἡμέρα ἁγίε Μάρκε τῦ Ευαγγελιςῦ.

ΠΑντοκράτωρ Θεὸς, ὁ ἁγίαν τὴν σὴν Ε'κκλησίαν ἐρανίῳ τῇ διδαχῇ συ Ευαγγελιςῦ ἁγίε Μάρκε συμβιβάζων, δὸς ἡμῖν χάριν, ὥςε μὴ προσεοικέναι ἡμᾶς παιδίοις τοῖς παντὶ τ̃ διδασκαλίας ἀνέμῳ κλυδωνιζομένοις τε κὴ περιφερομένοις, ἀλλὰ ἐν τῇ ὁσίᾳ τῦ Ευαγγελίε συ ἀληθείᾳ βεβηκότας ςερρῶθῆναι· διὰ Ι'ησῦ Χριςῦ τῦ Κυρίε ἡμῶν. Α'μήν.

Ε'πιςολή.

Ε'φε. δ. 4. Ε'νὶ δὲ ἑκάςῳ ἡμῶν ἐδόθη.

Κόμ. ζ. 7. μέχρι ιβ. 12.

Ε'υαγγέλιον.

Ι'ωαν. ιε. 15. Ε'γώ εἰμι ἡ ἄμπελος.

Κόμ. ζ. 7. μέχρι ιβ. 12.

¶ Ε'ν

¶ Ἐν ἡμέρᾳ Φιλίππου καὶ Ἰακώβου τῶν Ἀποστόλων.

ΠΑντοκράτωρ Θεὸς, ὃν τὸ ἀληθῶς γνῶναι ζωή ἐστιν αἰώνιος, χάρισαι ἡμῖν τὸ συντελῶς εἰδέναι, ὅτι Υἱός σου ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωὴ τυγχάνει ὤν, καθὼς ἐδίδαξας τὸν Φίλιππον, καὶ λοιποὺς τῶν Ἀποστόλων· διὰ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰωάν. α. 1. Ἰάκωβος Θεοῦ καὶ Κυρίου.

Κόμ. α. 1. μέχρι ιγ. 13.

Εὐαγγέλιον.

Ἰωάν. ιδ. 14. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία.

Κόμ. ι. 10. μέχρι ιε. 15.

¶ Ἐν ἡμέρᾳ τοῦ Βαρνάβα τοῦ Ἀποστόλου.

ΠΑντοκράτωρ Κύριε, ὁ τὸν ἅγιόν σου Ἀπόστολον Βαρνάβαν τοῖς ὑπερβλήτοις τοῦ ἁγίου Πνεύματος χαρίσμασι λαμπρύνας· δεόμεθά σου μὴ ἐᾶν ἡμᾶς τῶν πολλαπλασίων σου δωρημάτων, ἢ τῆς σῆς χάριτος ἀπεστερημένους διατελεῖν, ἐφ᾽ ᾧ αὐτοῖς πρὸς τὴν σὴν αἴνεσιν καὶ τοῦ παναγίου σου ὀνόματος δόξαν, ὀρθῶς χρησώμεθα· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν

Ἐπιστολή.

Πράξ. ια. 11. Ἠκούσθη δὲ ὁ λόγος εἰς τά.

Κόμ. κβ. 22. μέχρι τέλους.

Εὐαγγέλιον.

Ἰωάν. ιε. 15. Αὕτη ἐστὶν ἡ ἐντολή.

Κόμ. ιβ. 12. μέχρι ιζ. 17.

¶ Ἐν ἡμέρᾳ Ἰωάννου τοῦ Βαπτιστοῦ.

ΠΑντοκράτωρ Θεὸς, οὗ τῇ προνοίᾳ ὁ θεράπων σου Ἰωάννης ὁ Βαπτιστὴς θαυμαστῶς ἐτέχθη, καὶ προεστάλθη τοῦ ἑτοιμάσαι τὴν ὁδὸν Υἱοῦ σου τοῦ Σωτῆρος ἡμῶν, κηρύσσων τὴν μετάνοιαν· ποίησον ἡμᾶς οὕτω τὴν αὐτοῦ διδασκαλίαν τε καὶ ἁγίαν ζωὴν μιμεῖσθαι, ὥστε κατὰ τὴν αὐτοῦ δημηγορίαν ἀληθῶς μετανοεῖν, καὶ τῷ αὐτοῦ ἀκολούθως παραδείγματι, τὴν ἀλήθειαν ἰσχυρῶς ὁμολογεῖν, καὶ μετὰ παρρησίας τὴν ἁμαρτίαν ἐπιτιμᾶν, καὶ ὑπὲρ τῆς ἀληθείας εὐγνωμόνως πεπονθέναι· διὰ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἡσα. μ. 40. Παρακαλεῖτε, παρακαλεῖτε.

Κόμ. α. 1. μέχρι ιβ. 12.

Εὐαγγέλιον.

Λουκ. α. 1. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη.

Κόμ. νζ. 57. μέχρι τέλους.

¶ Ἐν ἡμέρᾳ ἁγίου Πέτρου τοῦ Ἀποστόλου.

ΠΑντοκράτωρ Θεὸς, ὁ, διὰ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, τῷ ἁγίῳ Πέτρῳ Ἀποστόλῳ πολλὰ ὑπερέχοντα δῶρα χαρισάμενος, καὶ αὐτῷ μετὰ πολλῆς φροντίδος ποιμαίνειν σου τὰ πρόβατα πεὶς ἐντειλάμενος· παράσχου, δεόμεθα, ἵνα πάντες οἱ Ἐπίσκοποί τε καὶ Ποιμένες τὸν λόγον σου μετὰ σπουδῆς ἀνακηρύξωσι, ἵνα καὶ ὁ λαὸς τῇ διδασκαλίᾳ εὐπειθὴς ᾖ, ἐφ᾽ ᾧ τὸν τῆς αἰωνίου δόξης στέφανον ἀνακομίσασθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή

Ε᾿πιστολή.

Πράξ. ιβ. 12. Κατ᾿ ἐκεῖνον δὲ τ̄ καιρόν.

Κόμ. α. 1. μέχει ιβ. 12.

Ε᾿υαγγέλιον.

Ματθ. ις. 16. Ε᾿λθὼν δὲ Ι᾿ησοῦς εἰς τὰ μέρη.

Κόμ. ιγ. 13. μέχει κ. 20.

¶ Ε᾿ν ἡμέρᾳ Ι᾿ακώβου τοῦ Α᾿ποστόλου.

ΠΑρέχου, ἐλεήμων ὁ Θεὸς, ἵνα καθάπερ ὁ ἅγιός σου Α᾿πόστολ☉ Ι᾿άκωβ☉ ἀφεὶς τ̄ αὐτοῦ πατέρα, κ̀ πάνθ᾿ ἃ ἐκτήσατο, πειθήνι☉ ἐκ τοῦ προςάγματος τοῦ καλοῦντί σου Υ᾿ιοῦ ἐγένετο, κ̀ αὐτῷ ἠκολούθει· οὕτω κ̀ ἡμεῖς τὰ τοῦ κόσμου τε, κ̀ τ̄ σαρκὸς πάθη καταλιμπάνοντες, ἀεὶ τοῖς σου πειθαρχοῦντες ἐντάλμασι διατελῶμεν· διὰ Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

Πράξ. ια. 11. Ε᾿ν ταύταις δὲ ταῖς ἡμέραις.

Ε᾿υαγγέλιον.

Ματθ. κ. 20. Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ.

Κόμ. κ. 20. μέχει κθ. 29.

¶ Ε᾿ν ἡμέρᾳ ἁγίου Βαρθολομαίου τοῦ Α᾿ποστόλου.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὁ δοὺς τῷ σου Α᾿ποστόλῳ Βαρθολομαίῳ χάριν, ἵνα τ̄ λόγον σου πιστῶς τε κ̀ διδάξῃ χάρισαι, δεόμεθα, τῇ σῇ Ε᾿κκλησίᾳ, τὸ ἀγαπᾷν ἃ ἐκεῖν☉ ἐπίστευσε, κ̀ κηρύττειν ἃ ἐκεῖν☉ μαθητεύων διετέλεσε· διὰ Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

Πράξ. ε. 5. Διὰ δὲ τῶν χειρῶν τῶν Α᾿ποστόλ.

Κόμ. ιβ. 12. μέχει κθ. 29.

Ε᾿υαγγέλιον.

Λουκ. κβ. 22. Ε᾿γένετο δὲ κ̀ φιλονεικία.

Κόμ. κδ. 24. μέχει λα. 31.

¶ Ε᾿ν ἡμέρᾳ τοῦ Ματθαίου Α᾿ποστόλου κ̀ Ευαγγελιστοῦ.

ΠΑντοκράτωρ Θεὸς, ὁ διὰ τ̄ Υ᾿ιοῦ σου τ̄ ἅγιον Ματθαῖον, ἐκ τοῦ τελώνου γενέσθαι Α᾿πόστολόν τε κ̀ Ευαγγελιστὴν, καλέσας χάρισαι ἡμῖν, ἵνα πάσῃ τ̄ φιλοπλουτίας τε κ̀ πλεονεξίας σπουδῇ χαίρειν εἰπόντες, ἀκολουθῶμεν τῷ Υ᾿ιῷ σου Ι᾿ησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, τῷ σὺν σοὶ ζῶντι κ̀ βασιλεύοντι Θεῷ, ἐν μονάδι τοῦ ἁγίου Πνεύματ☉, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α᾿μήν.

Ε᾿πιστολή.

β. Κορ δ. 4. Διὰ τοῦτο ἔχοντες διακονίαν.

Κόμ. α. 1. μέχει ιζ. 17.

Ε᾿υαγγέλιον.

Ματθ. θ. 9. Καὶ παράγων ὁ Ι᾿ησοῦς ἐκεῖθεν.

Κόμ. θ. 9. μέχει ιδ. 14.

¶ Ε᾿ν ἡμέρᾳ τοῦ Μιχαὴλ, κ̀ πάντων τῶν Α᾿γγέλων.

Ο῾ Θεὸς, ὁ τὰς τῶν Α᾿γγέλων τι κ̀ ἀνθρώπων θαυμαστῷ τινι τάγματι καταστήσας, ἵλεως χάρισαι, ἵνα οἱ ἐν οὐρανοῖς σοὶ ἀκαταλείπτως διακονοῦντες (παρεγγυήσαντός σου) πρὸς ἄμυναν ἡμῖν, κ̀ φυλακὴν ἐν τῇ χθονὶ γενηθῶσι· διὰ Ι᾿ησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Α᾿μήν.

Ε᾿πιστολή.

Ἐπιστολή.

Ἀποκ. ιβ. 12. Καὶ ἐγένετο πόλεμος.

Κόμ. ζ. 7. μέχρι ιγ. 13.

Εὐαγγέλιον.

Ματθ. ιη. 18. Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον.

Κόμ. α. 1. μέχρι ια. 11.

¶ Ἐν ἡμέρᾳ ἁγίου Λουκᾶ τοῦ Εὐαγγελιστοῦ.

ΠΑντοκράτωρ Θεὸς, ὁ Λουκᾶν τὸν ἰατρὸν, οὗ ἡ αἴνεσις ἐν τῷ Εὐαγγελίῳ, θεραπευτὴν εἶναι τῶν ψυχῶν, καλέσας· εὐδοκείτω σοι, δεόμεθα, ἵνα τὰ ὑγιεινὰ τῆς αὐτοῦ διδασκαλίας φάρμακα παντοδαπὰς τῶν ἡμετέρων ψυχῶν νόσους, θεραπεύῃ· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

β. Τιμ. δ. 4. Σὺ δὲ νῆφε ἐν πᾶσι.

Κόμ. ε. 5. μέχρι ις. 16.

Εὐαγγέλιον.

Λουκ. ι. 10. Μετὰ δὲ ταῦτα ἀνέδειξεν.

Κόμ. α. 1. μέχρι ζ. 7. μὴ μεταβαίνετε.

¶ Ἐν ἡμέρᾳ Σίμωνος καὶ Ἰούδα τῶν Ἀποστόλων.

ΠΑντοκράτωρ Θεὸς, ὁ τὴν σὴν Ἐκκλησίαν ἐπὶ τῷ θεμελίῳ τῶν Προφητῶν τε καὶ Ἀποστόλων οἰκοδομήσας, ὑπάρχοντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ· δώρησον ἡμῖν, ὅπως διὰ τῆς αὐτῶν διδασκαλίας, ἐν ἑνότητι τοῦ Πνεύματος συναφθῶμεν, ἐφ᾽ ᾧ ναὸν σοι εὐπρόσδεκτον γενέσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰουδ. α. 1. Ἰούδας Χριστοῦ Ἰησοῦ δοῦλος.

Κόμ. α. 1. μέχρι θ. 9.

Εὐαγγέλιον.

Ἰωαν. ιε. 15. Ταῦτα ἐντέλλομαι ὑμῖν.

Κόμ. ιζ. 17. μέχρι τέλους.

¶ Ἐν ἡμέρᾳ πάντων τῶν Ἁγίων.

ΠΑντοκράτωρ Θεὸς, ὁ τοὺς σοὺς ἐκλεκτοὺς ἐν μιᾷ κοινωνίᾳ καὶ συμμαχίᾳ τοῦ μυστικοῦ σώματος τοῦ Υἱοῦ σου Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνδήσας· δὸς ἡμῖν τοὺς σοὺς Ἁγίους, ἐν πάσῃ ἀρετῇ καὶ εὐσεβεῖ ζωῇ μιμησαμένοις, ἐπὶ τὴν ἀνεκδιήγητον χαρὰν, ἣν τοῖς ἀκριβῶς σε ἀγαπῶσιν ἡτοίμασας, ἀφικέσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἀποκ. ζ. 7. Καὶ εἶδον ἄλλον ἄγγελον.

Κόμ. β. 2. μέχρι ιγ. 13.

Εὐαγγέλιον.

Ματθ. ε. 5. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη.

Κόμ. α. 1. μέχρι ιε. 15.

Τέλος τῶν Εὐχῶν δι᾽ ὅλου τοῦ Ἐνιαυτοῦ.

¶ ΤΥΠΟΣ ΤΗΣ ΥΠΗΡΕΣΙΑΣ ΔΕΙΠΝΟΥ
τοῦ Κυριακοῦ, ἢ παναγίας τῆς Συνάξεως.

“ Ὅσοι περ μελετῷεν ἂν τὸ μεταχῆσειν παναγίας τῆς Συνάξεως, τ
“ Κηδεμόνι προτεραίᾳ ὑπὸ δείλης, ἢ τῷ ὄρθρῳ πρὶν ἄρχεσ
“ ἑωθινῶν εὐχῶν, ἢ ὕστερόν πω μετ' ὀλίγου τὰ αὐτῶν ὀνόματα ὀ
“ δηλώσουσι.

“ Ἐὰν δέ τις προειρημένων γένοιτο ἂν οὕτως ἀναφανδὸν ἐξάγισ
“ καὶ ἐπιτείπλως ἀκόλαστος, ὥστε ἐπ' αὐτὸν σκανδαλισθῆναι τὴν ὁμιλ
“ εἰ καί τις ὕβριν εἰς τὸν πέλας, ἤτοι λόγῳ, ἤδε ἔργῳ ὑβρισάμενος
“ ὁ Κηδεμὼν ὑπομνησθεὶς παρακαλέσει αὐτὸν, καὶ νουθετήσει μηδαμ
“ τολμᾷν ἐγγίσαντα τραπέζῃ τῇ Κυριακῇ, μέχρι οὗ φανερὸν εἶν
“ πᾶσι ποιούμενον, ὅτι ὄντως μεταμέλει αὐτῷ τῶν ἁμαρτηθέντων,
“ σωφρονίζει τὰ βδελυρῶς βεβιωμένα, ἵνα ἡ ἐπισυναγωγὴ τὴν α
“ δεσιν σχοίη ἂν, ἡ πρὸ ὀλίγου προσκρουσθεῖσα. Ἔτι δὲ, ὅτι τῷ πλησ
“ τῶν ἀδικηθέντων ἀντικαταλλαγὴν ἐξέτισεν, ἢ εἰς τουλάχιστον
“ προθεῖναι αὐτῷ τοῦτο ποιησομένῳ, ὡς αὐτίκα προσηκόντως δύναιτο α

“ Ὡσαύτως διαπράξει ὁ Κηδεμὼν, ὅτι τισὶν οὓς συνῆκέ τινας ὑπ
“ ἀλλήλοις διακεῖσθαι, οὐκ ἐάσας Κυριακῆς τραπέζης συμμετέχους εἶνα
“ πρὶν ἐννοῆσαι αὐτοὺς καταλλαγέντας. Ἦν δὲ τῶν συνερισόντων,
“ μὲν ἑκὼν ἀναφαίνηται ἐκ βάθους τῆς καρδίας τῷ φιλονεικοῦντι τ
“ ἡμαρτημένων συγγνῶναι, καὶ προσέτι εὐαρεστεῖν ἑτέρῳ ὁποιωσοῦν ἠτ
“ θέντι τὸ ἱκανὸν ποιῆσαι· ὁ δὲ δυσκόλως καὶ ἀμεταπείστως παραμείν
“ εἰς ἑνότητα πάλιν ἥκειν ἀναίνηται, ἄχει τῇ ἑῇ πληρότητι καὶ αὐθαδ
“ προσκαρτερούμενος· εἶτα πρέπει τῷ Διακόνῳ μεταιτοῦντα μὲν
“ ἁγίαν τὴν Σύναξιν προσδέξασθαι, μηδαμῇ δὲ τὸν ἐναντίον τα.

“ Τραπέζης ἐν τῷ τῆς Συνάξεως καιρῷ, καθαρᾷ τῇ σινδόνι περιεσκ
“ πασμένης, ἐν μέσῳ τοῦ ναοῦ, ἢ ἐν τῷ ἱερατείῳ καθεστώσης, ἤγουν ὅ
“ ὄρθειναί τε καὶ ἑσπεριναὶ εὐχαὶ ἀποτελοῦνται, ὁ Ἱερεὺς ἀρκτόθι ἀ
“ τῆς Τραπέζης ἑστὼς, Κυριακὴν τὴν Εὐχὴν, καὶ τὴν ἑξῆς Συλλογὴ
“ φθέγξεται.

¶ Η ΣΥΝΑΞΙΣ.

ΠΑντοκράτωρ Θεὸς, ᾧ πᾶσα ἡ καρδία τυγχάνει τετραχηλισμένη, ἐπιθυμία πᾶσα γνωρίμη, καὶ οὐδὲν τοπαράπαν τῶν ἀποῤῥήτων κεκρυμμένον ἐστί· τῇ τοῦ ἁγίου Πνεύματος ἁγίου ἐμπνοίᾳ τοὺς ἡμῶν καρδιῶ διαλογισμοὺς καθάρισον, ὅπω προθύμως σὲ ἀγαπῶμεν, καὶ ἀξι πρεπῶς τὸ ἅγιον ὄνομά σου μεγ λύνωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυ ρίου ἡμῶν. Ἀμήν.

¶ “ Εἶτα ὁ Ἱερεὺς συμπάσας δ
“ τ

"ξ, τὰς ἐντολὰς διαιρεσμένας
"ἀναπτυχθήσει, καὶ ὁ λαὸς ὀχλα-
"ρεῖ σὺ πανὴ Θεῦ συγχώμην τῶν
"ἐξημαρτημένων ἐφ' ἓν ἕκαστον
"τῶν ἐνταλμάτων, τότε δ' ἔπειν
"αἰτήσει.

Διάκονος.

Ο Θεὸς ἐλάλησε ταῦτα τὰ ῥήματα εἰπών· Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας, οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι ἐνώπιόν μου.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰς καρδίας ἡμῶν κλῖνον ἐπὶ τὸ φυλάξαι ταύτην τὴν ἐντολήν σου:

Διάκονος.

Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, ἢ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς, ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ἰσχυρὸς, ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην, καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιήσας δὲ ἔλεον εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰς καρδίας ἡμῶν κλῖνον ἐπὶ τὸ φυλάξαι ταύτην τὴν ἐντολήν σου.

Διάκονος.

Οὐ λήψῃ τὸ ὄνομα τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ, ὅτι οὐ καθαριεῖ Κύριος τὸν λαβόντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργάσῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα Κυρίῳ τῷ Θεῷ σου ἐστί· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, καὶ ὁ παῖς σου, ἡ παιδίσκη σου, ὁ βοῦς, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνος, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί· ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τόν τε οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς δίδωσί σοι.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Οὐ φονεύσεις.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Οὐ μοιχεύσεις.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Οὐ κλέψεις.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον μαρτυρίαν ψευδῆ.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς.

Διάκονος.

Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Λαός.

Κύριε ἐλέησον ἡμᾶς, καὶ ἐν ταῖς καρδίαις ἡμῶν ἔγγραψον ἁπάσας ταύτας τὰς ἐντολάς σου.

¶ " Εἶτα ἐπιφέρεται ἡ Συλλογὴ
" περὶ ἡμέραν, ξὺν ἑκατέρᾳ τῶν
" ἑξῆς εὐχῶν ὑπὲρ τοῦ Βασι-
" λέως, ἑστηκότος μεταξὺ τοῦ
" Ἱερέως, καὶ λέγοντος.

Δεώμεθα.

ΠΑντοκράτωρ Θεός, οὗτινος ἡ βασιλεία αἴδιός ἐστι, καὶ ἡ δύναμις ἄπειρος, ὁλόκληρον τὴν σὴν Ἐκκλησίαν ἐλέησον, καὶ οὕτω τὴν διάνοιαν ἐξειλεγμένου τοῦ θεράποντός σου ΚΑΡΟΛΟΥ τοῦ Βασιλέως ἡμῶν καὶ κυβερνήτου δίεπε, ἵνα συνιῶν, οὗ ὑπηρέτης τυγχάνει ὤν, περὶ πάντων τὴν σὴν τιμὴν καὶ δόξαν ζητήσῃ· ἡμεῖς δὲ οἱ ἀρχόμενοι, κατὰ τὸ προσῆκον ἐνθυμούμενοι, ὅτι τὴν σὴν ἐξουσίαν μεταχειρίζεται, πιστῶς αὐτῷ δουλεύσωμεν, τιμήσωμέν τε καὶ ταπεινοφρόνως πειθαρχήσωμεν, εἰς σέ, καὶ διὰ σέ, κατὰ τὸ σὸν εὐλογητὸν ῥῆμα καὶ πρόσταγμα· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σοὶ καὶ Πνεύματι ἁγίῳ συζῶντος καὶ συμβασιλεύοντος ἑνὸς Θεοῦ, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑντοκράτωρ αἰώνιε Θεέ,
ἁγίου τοῦ λόγου σου διδασκ
μεθα, ὅτι αἱ τῶν βασιλέων καρδ
ἐν τῇ δεσποτείᾳ καὶ ἡγεμονίᾳ
ὑπάρχουσι, καὶ ὅτι σὺ καθὼς τῇ
θείᾳ σοφίᾳ εὐάρεστόν ἐστι, διαπίθε
καὶ ἰθύνεις αὐτάς· ἀντιβολοῦμέν Κ
ριε, οὕτω καρδίαν τοῦ δούλου σου ΚΑ
ΡΟΛΟΥ Βασιλέως ἡμῶν καὶ αὐτ
κράτορος διατάξαι καὶ κυβερ
σαι, ὅπως ἐννοίᾳ, λόγῳ τε
ἔργῳ, τὴν σὴν τιμὴν καὶ δόξ
πανταχῇ ζητεῖν, ἅμα καὶ σπουδάζ
τόν τε λαόν σου τῇ ἑαυτοῦ πίστει ἐπιτ
τραμμένον, ἐν τῇ εὐπορείᾳ, εἰρή
τε, καὶ θεοσεβείᾳ διασῶσαι δυ
θῇ. Τοῦτο χάρισαι Πάτερ οἰκτ
μῶν, ἕνεκεν Υἱοῦ τῆς σῆς ἀγάπ
Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμ
Ἀμήν.

¶ " Διηνεκῶς μετὰ τὰς Συλλογ
" Ἱερεὺς ἀναγνώσει τὴν Ἐ
" στολήν, οὕτως ἄρχων.

Ἐπιστολὴ γέγραπται ἐν κεφαλ

¶ " Καὶ παυσαμένης τῆς Ἐπιστολ
" λέξει τὸ Εὐαγγέλιον, οὕτως
" ξάμενος.

Εὐαγγέλιον γέγραπται ἐν κεφαλ

¶ " Ὧν τελειουμένων, τὸ ἐν
" κατὰ τὴν Νικαίαν Συνόδῳ
" τεθείσης πίστεως Σύμβολ
" λεχθήσεται.

ΠΙστεύω εἰς ἕνα Θεόν, Πατ
παντοκράτορα, ποιητὴν
ρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων
ἀοράτων· καὶ εἰς ἕνα Κύριον Ἰησ
Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μο
γενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθ
πρὸ πάντων τῶν αἰώνων· φῶς
φωτός, Θεὸν ἀληθινὸν ἐκ Θ
ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθ
ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ

ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· Καὶ πιστεύω μίαν ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν· Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

¶ „Μετέπειτα τοῦ Συμβόλου, „πλὴν εἰ δημηγορία ποιηθῇ, „δεῖ μίαν τῶν Ὁμιλιῶν ἤδη δη„μοσίᾳ τῇ ἐξουσίᾳ ἐκδεδο„μένων, ἢ ὕστερον ἐκδοθησο„μένων ἀναγνῶναι.

¶ „Μετὰ ταύτην τὴν Κήρυξιν, „(Ὁμιλίαν, ἢ Παραίνεσιν,) ὁ Κη„δεμὼν τοῦ λαοῦ, (εἴ τινες ὑπά„ρχουσι), ἤτοι ἑορταστικάς, ἢ δὲ νη„στευτικὰς τῆς ἑξῆς ἑβδομάδος „ἡμέρας, ἐκφωνεῖ· καὶ ἔπειτα „προτρέψει αὐτοὺς ἐπὶ τὸ τῶν „πενήτων ἀναμιμνήσκεσθαι, ἕν τι „τῶν ἐπινεχθέντων γνωμιδίων „κατὰ τὸ δοκοῦν φθεγξάμενος.

Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσι.

Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος, καὶ οἱ προφῆται.

Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

Σταθεὶς δὲ Ζακχαῖος, εἶπε πρὸς τὸν Κύριον· ἰδού, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.

Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

Οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; Οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ Εὐαγγελίου ζῆν.

Τοῦτο δέ, ὁ σπείρων φειδομένως,

φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.

Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετ' αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν· ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς· ἀποθησαυρίζοντες ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη [...] Θεοῦ μένει ἐν αὐτῷ;

Ἐκ τῶν ὑπαρχόντων σοι ποί[...] ἐλεημοσύνην, καὶ μὴ ἀποστρέ[...] τὸ πρόσωπόν σου ἀπὸ παντὸς π[...] χοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ [...] πρόσωπον τοῦ Θεοῦ.

Ὡς σοὶ ὑπάρχει, κατὰ τὸ πλ[...] θος ποίησον ἐξ αὐτῶν ἐλεημ[ο]σύνην· ἐὰν ὀλίγον σοι ὑπάρχ[...] κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλε[η]μοσύνην. Θέμα γὰρ ἀγαθὸν θ[η]σαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀν[ά]γκης.

Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχ[...] κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώ[...] αὐτῷ.

Μακάριος ὁ συνιῶν ἐπὶ πτ[...] χὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονη[...] ῥύσεται αὐτὸν ὁ Κύριος.

¶ « Εἶτα οἱ ναοφύλακες, [...]
« ἄλλοι τινὲς οὖν ὑπ' αὐτῶν [...]
« ταχθέντες, τὴν τοῦ λ[...]
« ἐλεημοσύνην συλλέξουσι, καὶ [...]
« ἀγυρμοδοχείῳ ἐπιθήσουσι· [...]
« ἐν ἡμέραις ἐπὶ τὸ προσφέρ[...]
« καθεστώσαις, πᾶς ἀνὴρ π[...]
« γνώμῃ τῷ Κηδεμόνι τὰ ὀφλ[...]
« ματα καὶ προσφορὰς κατ' εἰ[...]
« θὸς ἐνθήσει. Ὧν διατεταγ[...]
« μένων, ὁ Ἱερεὺς ἐρεῖ.

¶ Εὐχόμεθα ὑπὲρ καταστάσ[...] τῆς καθόλου Ἐκκλησίας τοῦ Χρ[...] στοῦ, ἐπὶ τῆς γῆς στρατευομένης.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, [...] δι' ἁγίου τοῦ Ἀποστόλου σου ὑπ[...] φητεύσας, τὸ δεῖν ἡμᾶς τὰς δ[...] σεις, προσευχὰς, ἐντεύξεις τε, [...] εὐχαριστίας ὑπὲρ πάντων τῶν ἀ[...] θρώπων ποιεῖσθαι· ταπεινοφρό[...] ἀντιβολοῦμέν σε, Κύριε, ἐλεεῖν[...]

[...]

[ἐὰν δὲ ἡμέρα ἐλεημοσύνη ποιηθῇ, χρὴ προσλείπειν ταῦτα τὰ ῥήματα, ταύτην τὴν προσφορὰν ἀπολαβεῖν, καὶ] ὡς θεῖα τῇ σῇ μεγαλειότητι λιτὰς προσηνέγκαμεν, ἀποδέξασθαι· ἱκετεύοντές σε, τῷ πνεύματι τῆς ἀληθείας, ἑνότητός τε καὶ ὁμονοίας, Ἐκκλησίαν τὴν καθολικὴν ἀδιαλείπτως ἐπιπνεῦσαι· καὶ χορήγησον, ὅπως οἱ τὸ ἅγιον ὄνομά σου ὁμολογοῦσι, ἐν τῇ θείᾳ λόγου σου ἀληθείᾳ ὁμοφρονεῖν, καὶ ἐν τῇ ἑνώσει καὶ εὐσεβεῖ ἀγάπῃ συγκαταβιῶν διαμένωσι. Ἔτι δὲ, δεόμεθά σου Κύριε, σῶσον καὶ σκέπασον ἅπαντας Χριστιανοὺς Βασιλεῖς, Ἄρχοντας, καὶ Κυβερνήτας, ἄλλως τε καὶ θεράποντά σου τὸν ΚΑΡΟΛΟΝ τὸν ἡμῶν Βασιλέα, ἵνα ὑπ' αὐτοῦ ἔρημον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Καὶ χάρισαι τοῖς αὐτοῦ συμβούλοις καὶ παντὶ ὑπ' αὐτοῦ ἐν ὑπεροχῇ ὄντι, τὸ ἀπροσωπολήπτως τε καὶ νομίμως δίκην δικάσαι πρὸς τὴν τῆς πονηρίας καὶ ἀσελγείας τιμωρίαν καὶ ἀντίπερα, πρὸς τὴν τῆς ὄντως θεοσεβείας καὶ ἀρετῆς [illegible]. Παρέχου χάριν, Πάτερ οὐράνιε, πᾶσι τοῖς Ἐπισκόποις, Ποιμέσι τε, καὶ Κηδεμόσι, ὥστε ζωῇ καὶ διδαχῇ ἀληθινὰ καὶ βιώσιμα τὰ λόγιά σου ἐξαγορεύειν, ἅμα καὶ ὀρθῶς καὶ προσηκόντως ἱερὰ τὰ μυστήριά σου ὑπηρετεῖν. Καὶ ὁλοκλήρῳ τῷ λαῷ σου δώρησαι τὴν σὴν ἐπουράνιον χάριν, ἰδικῶς δὲ, τῷδε παρόντι τῷ Ὁμίλῳ, ἐφ' ᾧ πραεῖ τῇ διανοίᾳ καὶ ὀφειλομένῃ τῇ εὐλαβείᾳ πανάγια τὰ θεσπίσματά σου ἐνωτίσαι τε καὶ ἐννοῆσαι, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσας τὰς τῆς ζωῆς ἡμέρας λατρεύοντί σοι. Καὶ ὀκλάσει λιπαροῦμεν, Κύριε, διὰ τὴν χρηστότητά σου τὸ παραμυθεῖν, ἀντιλαβέσθαι, καὶ βοηθεῖν τοῖς ἐν τῷ νῦν βίῳ, ἢ διὰ συμφορᾷ ἢ ἀλγηδόνι, ἐνδείᾳ, νόσῳ, ἢ ἄλλῃ τινὶ οὖν κακοπαθείᾳ ταλαιπωρουμένοις· τοῦτο χάρισαι ἕνεκα τοῦ κατὰ μόνας Μεσίτου ἡμῶν καὶ συνηγοροῦντος, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ “ Τούτοις ἐπισυνάπτεται ὁ προ-
“ τρεπτικὸς λόγος, ὁπόταν ὁ
“ Κηδεμὼν συνήχει τὸν λαὸν εἰς
“ πανάγιαν τὴν Σύναξιν ὀκ-
“ νοῦντα προσιέναι.

ἘΝ τῷ παρόντι, ἀδελφοὶ κεχαρισμένως ἀγαπητοὶ, ἐνθάδε συνηγέρθημεν πρὸς τὸ κατασπεῦσαι ἡμᾶς ἐπὶ Κυριακὸν τὸ δεῖπνον πρὸς ὃ (ὅσον τὸ κατὰ Θεὸν) ἅπαντας ἡμᾶς ὧδε συλλεχθέντας καλῶ, καὶ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἕνεκεν ἀντιβολῶ, οὐ δῆτα ἀναίνεσθαι προσελθεῖν, καὶ μάλα ὡς ὄντας ὑπὸ τοῦ Θεοῦ συγκεκλημένους τε καὶ παρηγγελμένους. Ὑμεῖς δὲ οἴδατε ὅσον βαρὺ καὶ οὐχὶ δίκαιόν ἐστιν, ἐπειδήπερ τις ἐν ὑμῖν δαψιλεστάτην τὴν εἰλαπίνην ἐξήρτυσε, καὶ κομιδῇ τὴν τράπεζαν παντοδαπῇ τῶν πρὸς τὸν βίον ἐπιτηδείων ἑτοιμασίᾳ παρεσκεύασεν, ὥστε οὐδὲν τὸ παράπαν ἐνδεῖν, πλὴν τὸ τοὺς κατακλύτας ἀνακεῖσθαι· ἀλλ' ὅμως οἱ κεκλημένοι ἀλόγως τε καὶ λίαν ἀχαρίστως φοιτᾶν ἐξαρνοῦν).

Τίς ἄρα ἐν ὑμῖν τοιαῦτα πάσχων οὐκ ἂν ἀγανακτοίη; Τίς οὐκ ἂν νομίζοι ἑαυτὸν τὰ δεινὰ, καὶ ὑβριστικὰ πεπονθέναι; Τοιγαροῦν, κεχαρισμένως ἀγαπητοὶ ἐν Κυρίῳ, σκο-

 πεῖτε,

ποιῆτε, μὴ παναγίου τούτου τοῦ δείπνου ἀπεχωρήσαντες, τὸν Θεὸν καθ' ὑμῶν παροργίζοιτε. Ῥᾷον ἄν τις προφασισθῇ, λέγων· οὔπω δίος τ' εἰμὶ κοινωνῆσαι, ἀσχολίαν ἄγων τῷ κόσμῳ, καὶ πράγμασι διακωλυόμενος. Τηλικαύτας τὰς παραιτήσεις ὁ Θεὸς οὐχ οὕτως εὐκόλως ὑποδέξεται, οὐδὲ οὐ δοκιμάσεται. Ἐὰν δέ τις περιλυπούμενος λαλῇ· ταλαίπωρός εἰμι ἁμαρτωλὸς, τοιγάρτοι ἐκεῖσε προσπελασόμενος ἀρρωδῶ. Διατί δηλαδὴ οὐ μετανοεῖς; Διατί ἐπαγῇ τὸν βίον οὐ σωφρονίζεις; Ὅταν σε ὁ Θεὸς ἐκάλεσεν, οὐκ ἂν ἐπαισχυνθείης φάσκων ὅτι οὐ μὴ βούλομαι ἀφικέσθαι; Ὅταν μέλλεις πάλιν ἥκειν εἰς τὸν Θεὸν, τί οὖν δύνῃ σοι συναγορεῦσαι εἰπὼν ὅτι οὐκ εἰμὶ ἕτοιμος; Περιεσκεμμένως ἐνθύμει ὡς περὶ οὐδαμινοῦ προσποίητα ταῦτα ἀπολογήματα τότε λυσιτελέσει σοι. Οἱ ἀρνοῦντες τὸ δεῖπνον ἐν τῷ Εὐαγγελίῳ, ὁ μὲν ἀγρὸν ἀγοράσας, ὁ δὲ ζεύγη βοῶν δοκιμάσας, ὅτε γυναῖκα γήμας, οὐ δήπου παρῃτημένοι, ἀλλὰ μᾶλλον ἀνάξιοι τῆς οὐρανίου εὐωχίας νενομισμένοι ἀπέβησαν. Ἐγὼ δὲ, ὡς ἔχει τάγμα, ὧδε παραγίνομαι, καὶ κατὰ τὸ προσῆκον ἐν τῷ ὀνόματι τοῦ Θεοῦ παραγγέλλω ὑμᾶς, προσκαλοῦμαι, καὶ ἐν αὐτοῦ τοῦ Χριστοῦ μέρει προτρέπομαι ὑμᾶς, ὡς πολυτίμητος ὑμῖν ἐστιν ἡ σωτηρία, μετόχους γενέσθαι ταύτης τῆς ἁγίας Συνάξεως. Καὶ ὥσπερ ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἀπηξίωσεν τὴν ἑαυτοῦ ψυχὴν ἐπὶ τὸν σταυρὸν ἄχρι θανάτου διὰ τὴν ὑμῶν σωτηρίαν ἐκδιδόναι· οὕτω πρὸς ὑμῶν ἐστι, εἰς τὴν τοῦ θανάτου αὐτοῦ ἀνάμνησιν τὸ δὲ τῆς κοινωνίας συμμετασχεῖν. Ἐὰν δὲ ταῦτα δρῶντες ἀμελήσετε, μεθ' ἑαυτῶν ἐννοεῖτε ἡλίκην ὕβριν εἰς τὸν Θεὸν ὑβρίζοντες τυγχάνητε, ὅσον τε ὄγκον τῆς δίκης ταῖς ὑμετέραις κεφαλαῖς ἐπικρεμάμενον ἐστὶν ἰδεῖν· ἡνίκα οὖν ἐν τῷ πρὸς ἀγάπην τὴν πανδαισίαν νωτοστρέφειν δεινῶς σφόδρα τῷ Θεῷ προσταρύσατε, παρακαλῶ ὑμᾶς, προτρέπομαί τε, καὶ ἀντιβολοῦμαι, μηδαμῶς ταύτῃ τῇ ἀηδείᾳ χαλεπωτέραν προσθέντας διατελεῖν. Καὶ τοῦτό γε διαπράξαιτε ἂν, εἴπερ τῶν κοινωνούντων θεατὰς μόνον ἑαυτοὺς, καὶ ἐπόπτας (ὑμεῖς μεταξὺ ἄμοιροι γινόμενοι) παρέχοιντε. Τί δῆτα τοῦτο λογίζεται πλὴν περαιτέρω τὸν Θεὸν ὀλιγωρεῖν τε, καὶ παροξυνεῖν; Μεγάλη μέν ἐστιν ἀχαριστία προσκληθέντας ἐξάρνους εἶναι· μεῖζον δὲ παρὰ πολὺ τὸ πλημμέλημα πλησιάζοντας ἤδη οὐ δειπνεῖν τὸ δὲ τῆς παναγίας Συνάξεως φαγεῖν ἢ πίνειν καταξιοῦντας. Τί ἄρα ταῦτα διαφέρει τοῦ τὰ μυστήρια τοῦ Χριστοῦ μυκτηρίζεσθαι; Πᾶσιν ὁλοκλήρως λέγεται, λάβετε, φάγετε, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Τίνι οὖν ὄμματι; Τίνι τῷ προσώπῳ ταῦτα τὰ ῥήματα ἐνωτίζετε; Τοῦτο δήπου ἐστὶ τῆς περὶ τὴν τοῦ Χριστοῦ διαθήκην οὔτοι καταφρονεῖν, προπηλακίζειν τι, καὶ καταγελᾷν, ὡς οὐκ οἶδ' ὅτι ἄλλο. Τὸ μὴ χωρεῖν φέρτερον, ἢ τοῦτο ποιεῖν· ἑκὼν, ἑκὼν ἐστε, καὶ τοῖς εὐσεβεστέροις διακονουμένοις τὰς ἕδρας ἀπεικάθητε, ἀναχωρεῖτε. ἀναχωροῦντες δὲ διέλθετε πρὸς ἑαυτοὺς, καὶ σκέπτεσθε ἀφ' οὗ ποτ' ἀναχωρεῖτε. Ἀπηλλάγητε τραπέζης

τῆς Κυριακῆς, ὑμετέρων αὐτῶν ἀδελφῶν ἀποστραφέντες δ' αὐτοὺς, τροφῆς τῆς ἐπουρανίου ἀπέλθετε. Ταῦτα ὑμεῖς ἐνθυμούμενοι, εἰς βελτίω τὸν νοῦν (Θεοῦ διδόντος) ἐπανελεύσεσθε· οὗ ἵνα τυγχάνητε, ἡμεῖς παναγίας τῆς Συνάξεως συμμετεσχηκότες, ὑπὲρ ὑμῶν ἀτενεῖς τὰς δεήσεις οὐ παυόμεθα τῷ Θεῷ προσενεγκόντες.

¶ «Ἐνίοτε δὲ προστεθήσεται ὁ «ἑξῆς λόγος, κατὰ διακρίνησιν τοῦ Κηδεμόνος.

Ἐπειδὴ προσήκει ἡμᾶς, ὦ ἀγαπητοὶ, Θεῷ τῷ παντοκράτορι καὶ Πατρὶ ἡμῶν ἐπουρανίῳ, ἐκ βάθους τῆς καρδίας τὰ χαριστήρια ἀποτίσαι· ὅτι ἑαυτοῦ τὸν Υἱὸν καὶ ἡμῶν Σωτῆρα Ἰησοῦν Χριστὸν, οὐ μόνον ὑπὲρ ἡμῶν θανόντα, ἀλλὰ καὶ πνευματικὴν τροφὴν καὶ σιτίον γενέσθαι ἀξιοῦντα ἡμῖν παρέδωκε· Καθάπερ πρόδηλόν ἐστιν ἡμῖν, ἔκ τε τῶν τοῦ Θεοῦ λογίων, καὶ ἐκ παναγίων εὐλογητοῦ τοῦ σώματος καὶ αἵματος αὐτοῦ μυστηρίων· ὧν τοῖς ἀξίως μετειληφόσι παραμυθητικῶν, ἀναξίως δὲ ὑποδέξασθαι τολμῶσι περικινδύνων ὄντων· ἔργον ἐστὶν ἐμοῦ, προτρέπειν ὑμᾶς, ἐπὶ τὸ τὴν ἐκείνου μυστηρίου ἀξιότητα διασκέπτεσθαι· ὡς φρικτόν ἐστι ἀναξίως τούτου μεταλαβεῖν· ἔτι δὴ καὶ ἐμόν ἐστι, παροτρύνειν ὑμᾶς ἐπὶ τὸ τὰ ὑμῶν ἴδια συνειδότα ἐξετάζειν τε καὶ δοκιμάζειν, ἐφ' ᾧ, ἅγιοι καὶ καθαροὶ εἰς θειοτάτην καὶ ἐπουράνιον ταύτην τὴν εὐωχίαν δυνηθῆτε φοιτᾶν μηδαμῇ τῷ θαρρεῖν πλησιάζοντες, εἰ μὴ ἔνδυμα τοῦ γάμου, τὸ ἐν ἁγίᾳ τῇ γραφῇ ὑπὸ τοῦ Θεοῦ ἀπαιτούμενος, ἐνδεδυμένοι τὸν τῆς τρόπον ἐλθόντες, κελαγόμενοι ταύτης τῆς ἐπουρανίου τραπέζης ἄξιοι γενήσεσθε μεταχόντες. Φέρε μὲν καὶ συνέργα ταῦτά ἐστι.

Πρῶτον ἄρα δεῖ τὴν ἑαυτῶν ζωήν τε καὶ τὰς ὑμετέρας συνηθείας κατὰ τὸν τῶν θείων Ἐνταλμάτων κανόνα λίαν ἀκριβῶς διορᾶν, καὶ δοκιμάζειν· καὶ διότι συναισθάνεσθε εἴτε διανοίᾳ, εἴτε λόγῳ, ἢ ἔργῳ, τῷ Θεῷ προσκεκρουκέναι· ἐκεῖ τὰ ἁμαρτωλῶς βεβιωμένα θρηνεῖτε, τὰ παρωχηκότα Θεῷ τῷ παντοκράτορι ἐξομολογεῖτε, καὶ τὸν ὑπόλοιπον τὸν βίον μετὰ προθυμίας τῆς καρδίας ἐπανορθοῦτε. Ἢν δὲ ἁλίσκηταί τι τῶν πλημμελημάτων, οὐχ ὅπως κατὰ Θεὸν, ἀλλὰ καὶ κατὰ τοὺς πέλας εἰσενεχθέν· εἶτα ἐκείνοις διαλλάγητε καὶ κατὰ τὸ ἐφ' ὑμῖν τὴν τῶν ὑβρισθέντων ἀπόδοσιν, ἢ ἀδικηθέντων ἀποκατάστασιν προθύμως ποιήσαντες, ἐξίσης ἑτοίμους ὑμᾶς παρέχοντες συγγνῶναι παντὶ καθ' ἕκαστον λυπήσαντι ὑμᾶς, καθὼς καὶ παρὰ τοῦ Θεοῦ τῆς τῶν ὑμετέρων αὐτῶν σφαλμάτων ἐλπίζετε ἐξαλοιφῆς ἐπιτυχεῖν· χωρὶς οὗ, ἡ τῆς παναγίας Συνάξεως μετοχὴ οὐδὲν ἀναφαίνεται ἄλλο, πλὴν ἐμβρίθειά τις καὶ ἐπίδοσις ἑαυτῶν τοῦ κατακρίματος. Ἐπειδὴ δὲ παρ' ἡμῶν ἀπαιτεῖται τὸ δέον, ἵνα πᾶς εἰς ἁγίαν τὴν Κοινωνίαν προσερχόμενος, τήν τε πεποίθησιν τῷ τοῦ Θεοῦ ἐλέει ἐπισκηπτομένην, καὶ τὴν συνείδησιν πεπαυμένην ἔχῃ. Τοιγάρτοι ἐάν τις ἐν ὑμῖν διὰ τῶν ἐμποδὼν τῶν προειρημένων οὐκ ἰσχύει ἑαυτοῦ τὸ

συνειδὸς

συνειδὸς καταπραΰνειν δεῖται δὲ βελτίονος τῆς παρηγορίας, ἐλθέτω αὐτὸς ἐμοίγε, ἢ ἄλλῳ τινὶ νουνεχόντι καὶ πεπαιδευμένῳ θείου λόγου ὑπηρέτῃ, τὴν ἑαυτοῦ ὀδύνην ἀνοίξας, καὶ πνευματικὴν τὴν βουλὴν, νουθεσίαν τε, καὶ παραμυθίαν ἀνακομίσει, ὥστε τὸ συνειδὸς ἡσυχάζειν καὶ ἐκ τῆς τοῦ θείου λόγου ὑπηρετήσεως, (πρὸς τὴν τῆς συνειδήσεως ἀνάπαυσιν, πρός τε τὴν τῆς ἀπορίας τε καὶ δισταγμοῦ ἀποτροπὴν) θεραπείαν τῆς παρακλήσεως καὶ ὠφέλειαν τῆς ἀπολύσεως, ἐκκαρποῦσθαι.

¶ Εἶτα ὁ Ἱερεὺς λέξει ταύτην τὴν Παραίνεσιν.

Πρὸς ὑμᾶς οὖν, ἀγαπητοὶ ἐν Κυρίῳ, ὅσοιπερ προσέχετε τὸ νῦν ἐπὶ τὸ συμμεταλαχεῖν τοῦ σώματος καὶ αἵματος Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ, τὸ ὑπὸ ἁγίου Παύλου πρὸς Κορινθίους γεγραμμένον ἐνθυμεῖσθαι, ὃς παραινεῖ πάντας ἀνθρώπους πρὸς τὸ λίαν ἀκριβῶς διαγνῶναί τε καὶ δοκιμάζειν σφᾶς αὐτοὺς, πρὶν τολμᾶν ἐσθίοντας τε τὸν ἄρτον, καὶ τοῦτο τὸ ποτήριον πίνοντας. Ὥσπερ γὰρ μέγα ἐστὶ τὸ ὠφέλιμον εἰ μετὰ τῆς καρδίας ὄντως μετανοούσῃ καὶ ζωηρᾷ τῇ πίστει ἁγίας τῆς Συνάξεως μεταλάβωμεν· εἶτα γὰρ πνευματικῶς τὴν τοῦ Χριστοῦ σάρκα ἐσθίομεν, καὶ αὐτοῦ τὸ αἷμα πίνομεν· εἶτα ἐν Χριστῷ κατοικοῦμεν, καὶ Χριστὸς ἐν ἡμῖν, εἶτα ἑνούμεθα τῷ Χριστῷ, καὶ Χριστὸς ἡμῖν· οὕτω καὶ οὐχ ἥκιστός ἐστιν ὁ κίνδυνος, ἐὰν ἀναξίως λάβωμεν· καὶ γὰρ τοῦ σώματος καὶ αἵματος Χριστοῦ, τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος, ἔνοχοι γεγόναμεν, τὸ κρίμα ἡμῖν αὐτοῖς ἐσθίομεν καὶ πίνομεν, μὴ διακρίνοντες τὸ σῶμα τοῦ Κυρίου· φλεγμαίνουσαν τὴν ὀργὴν τοῦ Θεοῦ καθ' ἡμῶν ἐφαπτόμεθα, αὐτήν τε ποικίλοις τισὶ νοσήμασι καὶ ἀλλεπαλλήλοις θανάτου τρόποις ἡμᾶς καταπλήξαντα παροξυνόμεθα. Εἰ ἄρα τις ὧδε παρείη εἰς Θεὸν βλασφημῶν, εἴ τις διακωλύων, ἢ βδελύσσων αὐτοῦ τὸν λόγον, ἢ τις λαγνείᾳ, κακίᾳ, βασκανίᾳ, ἢ ἄλλῃ τινὶ οὖν βαρυτάτῃ τῇ ἀνομίᾳ πεφυρμένος, τὰς ἑαυτοῦ ἁμαρτάδας ἀποκλαιέτω, καὶ μηδαμῶς εἰς ταύτην τὴν ἁγίαν τράπεζαν προσεγγισάτω, μή ποτε πανάγιου τοῦ μυστηρίου μετειληχότα, αὐτὸν, καθάπερ τὸν Ἰούδαν, ὁ διάβολος ἐμβατεύῃ, καὶ παντοδαπῇ τῇ παρανομίᾳ, εἰς τὴν σώματός τε καὶ ψυχῆς πανωλεθρίαν ἀναπιμπλάσῃ. Διακρίνετε οὖν ὑμᾶς ἀδελφοὶ, ἵνα μὴ κριθῆτε ὑπὸ τοῦ Κυρίου· μετανοεῖτε τῶν ἁμαρτημάτων ὧν κατείργασθε· βιώσιμον καὶ βεβηκυῖαν τὴν πίστιν εἰς Χριστὸν τὸν λυτρωσάμενον ἡμᾶς, καθιστάνετε· τὴν ὑμετέραν ζωὴν συντελεῖ τῇ ἀγάπῃ πᾶσι συνηρμένοι, σωφρονίζετε· οὕτως ἁγίων τῶν μυστηρίων, ὡς ἀνήκει, γενήσεσθε συγκληρωθέντες. Πρὸ πάντων δὲ, ἀνάγκη ταπεινόφρονα ἐκ τῆς καρδίας χαριστήρια Θεῷ τῷ Πατρὶ, τῷ Υἱῷ, καὶ Πνεύματι τῷ ἁγίῳ ἀναφέρεσθαι· ὑπὲρ τῆς τοῦ κόσμου ἀπολυτρώσεως διὰ θανάτου καὶ πάθους τοῦ Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ Θεανθρώπου, τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ὑπὲρ ἡμῶν ἀθλιωτάτων ἁμαρτωλῶν τῶν ἐν καθημένων καὶ σκιᾷ τοῦ θανάτου ἐγκυλιζομένων, πρὸς τὸ ποιῆσαι ἡμᾶς

υἱοὺς

υἱοῦ Θεοῦ, καὶ ὑπερυψῶσαι ἡμᾶς εἰς ζωὴν τὴν αἰώνιον. Ἐφ' ᾧ δὲ καὶ ὑπερβάλλουσαν τὴν ἀγάπην τοῦ δεσπότου ἡμῶν, καὶ μοναδικοῦ Σωτῆρος ὄντος Ἰησοῦ Χριστοῦ, καὶ ἀναρίθμητα τὰ εὐεργετήματα διὰ τιμιωτάτου προσχυθέντος αἵματος αὐτοῦ, ἐξαρκούντως ἡμῖν πεποιημένα, διὰ μνήμης ἔχοιμεν· ταῦτα ὅσια τὰ μυστήρια ὡς ἐχέγγυα τῆς ἀγάπης καὶ ὑπομνήματα τοῦ θανάτου αὐτοῦ εἰς μεγάλην καὶ ἄπειρον ἡμῶν παραμυθίαν καθέστηκε καὶ προσέταγε. Τούτῳ ἄρα μετὰ τοῦ Πατρὸς καὶ Πνεύματος ἁγίου, κατὰ τὸ δέον, εὐηνίους ἡμᾶς ἁγίῳ αὐτοῦ θελήματι παρέχοντες, καὶ καθ' ἑκάστην ἐπιτηδεύοντες τὴν ἡμέραν, ἐν ἁγιωσύνῃ καὶ δικαιοσύνῃ τοῦ βίου καταρέσκειν αὐτῷ, ἀδιάλειπτον τὴν εὐχαριστίαν οἴσωμεν. Ἀμήν.

¶ « Τότε ὁ Ἱερεὺς τοὺς ἐπὶ τὸ τῆς « παναγίας Συνάξεως μετέ- « χειν συνερχομένους, προσφω- « νήσει.

Ὅσοι γὰρ ὄντως καὶ διαπύρως ἐπὶ τὰ ἁμαρτηθέντα μετανοεῖτε, καὶ πρὸς τοὺς πέλας ἐν τῇ φιλοφροσύνῃ καὶ ἀγάπῃ καταλλάγητε, καὶ ἀνανεούμενον τὸν βίον μετέπειτα διατελεῖν προαιρεῖσθε, τὰ ἐντεταλμένα ὑπὸ Θεοῦ παρατηροῦντες, καὶ τοῦ ἀπὸ τοῦδε ἐν ὁσίαις ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι ἐπιτηδεύοντες· ἐγγίζετε, καὶ τοῦτο Μυστήριον τὸ παναγίον εἰς τὴν ὑμετέραν παραμυθίαν ἀποδέχεσθε, Παντοκράτορι τῷ Θεῷ, ἔμπροσθεν τούτου τοῦ ὁμίλου ἐν αὐτοῦ ὀνόματι συνειλεγμένου, ταπεινὴν τὴν ἐξομολόγησιν γονυπετοῦντες προσηκόντως ποιοῦντες.

¶ « Τότε ἡ ὁμολόγησις γενικὴ « ἐν ὀνόματι τῶν κοινωνησομέ- « νων, ἢ δι' ἑνὸς αὐτῶν, ἢ τῶν « Διακόνων, ἤτοι αὐτοῦ Ἱερέως « (πάντων μεταξὺ γόνυ κλι- « νάντων.)

Θεὸς ὁ Παντοκράτωρ, Πατὴρ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πάντων κτιστής, καὶ τῶν ἀνθρώπων κριτὴς ὤν· ὁμολογοῦμεν καὶ πενθοῦμεν πολλαπλασίας ἡμῶν τὰς ἁμαρτίας καὶ ἀνομίας, ἃς ἡμέραν παρ' ἡμέραν, ἐννοίᾳ, λόγῳ, καὶ ἔργῳ ἀνηκέστως ἀπειργασάμεθα, κατὰ τῆς θείας μεγαλειότητός σου, παροξύνοντές σε πρὸς ἡμᾶς εἰκότως ἀγανακτεῖν τε καὶ νεμεσᾶν. Ἐνσπουδῇ μετανοοῦμεν, καὶ ἐπὶ τοῖς παραπτώμασιν ἐκ καρδίας ἀλγοῦμεν, αὐτῶν πικρά ἐστι καὶ βαρεῖα ἡ ὑπόμνησις, καὶ οὐκ ἀνασχετόν ἐστι τὸ φορτίον· ἱλάσθητι ἡμῖν ἐλεημονέστατε Πάτερ, ἱλάσθητι ἡμῖν, ἕνεκεν ἡμῶν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἀμνηστίαν ἄγε τῶν παρεληλυθότων, καὶ χάρισαι ἡμῖν τοῦ ἀπὸ τοῦδε ἐν καινότητι τοῦ βίου διαπαντός σοι δουλεῦσαι καὶ ἀρέσαι, πρὸς τὴν τοῦ ὀνόματός σου τιμὴν καὶ δόξαν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ « Εἶτα ἀναστὰς ὁ Πρεσβύτερος, « ἢ ὁ Ἐπίσκοπος, ἐὰν παρείη, καὶ « εἰς τὸν λαὸν στραφεὶς τὰ ἑξῆς « φθέγξεται.

Παντοκράτωρ Θεός, Πατὴρ ἡμῶν ἐπουράνιος, ὁ ὑποσχεθεὶς συγγνώμην ἔχειν ἁμαρτιῶν πᾶσι τοῖς σπουδαίᾳ τῇ μετανοίᾳ καὶ ἀληθεῖ τῇ πίστει αὐτῷ ἐπιστραφεῖσιν· ἐλεησάτω ὑμᾶς, ἀπὸ πασῶν παρανομιῶν ῥυσάτω ὑμᾶς, ἐν πάσῃ τῇ

ἀγαθότητι ἐπιχορηγείσαιτο καὶ βεβαιώσαιτο ὑμᾶς, καὶ εἰς βίον τὸν αἰώνιον ὑφηγείσθω ὑμᾶς· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Τότε ἐρεῖ ὁ Ἱερεύς.

Εἰσακούσατε ὡς τὰ παραμυθητικὰ τῶν ῥημάτων ὁ Σωτὴρ ἡμῶν λέγει ἅπασι τοῖς αὐτῷ ἀληθῶς ἐπιστραφεῖσι.

Δεῦτε πρὸς με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

¶ Ἔτι δὲ ἀκούετε ἃν λέγει ὁ ἅγιος Παῦλος.

Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι.

¶ Πρὸς τούτοις ἐνωτίσατε ἅπερ λέγει ὁ ἅγιος Ἰωάννης.

Ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

¶ Ἐφ' οἷς ὁ Ἱερεὺς πρεσβυτέρω προβὰς, λέξει.

Ἄνω σχῶμεν τὰς καρδίας.

Ἀπόκρισις.

Ἔχομεν πρὸς τὸν Κύριον.

Ἱερεύς.

Εὐχαριστήσωμεν Θεῷ τῷ Κυρίῳ ἡμῶν.

Ἀπόκρισις.

Ὅτι ἄξιόν ἐστι καὶ δίκαιον.

Ἱερεύς.

Ἄξιόν ἐστι, καὶ δίκαιον, τοῦτο πλη[...] ρῶσαι τὸ δέον, παντελῶς, [...] πανταχοῦ εὐχαριστῆσαί σοι, Δέσπο[...]τα Κύριε, Παντοκράτωρ, αἰώνι[...] Θεός.

¶ " Οἷς προσθήσεται Ἰδιόμελ[...]
" τὸ κατὰ καιρὸν εἰ ἄρα ἐπ[...]
" ταχθῇ τι· ἄλλως τε συνεχῶ[...]
" ἐπιφέρεται, τό, Διόπερ με[...]
" Ἀγγέλων καὶ Ἀρχαγγέλων[...]
" Καὶ τὰ λοιπά.

¶ ΙΔΙΟΜΕΛΑ Η ΠΡΟ[...]ΟΙΜΙΑ ΤΑ ΚΥΡΙΑ.

¶ Ἐπὶ τὰ Γενέθλια τοῦ Κυρίου κ[...] ἑπτὰ τὰς ἔπειτα ἡμέρας.

Ὅτι ἔδωκας Ἰησοῦν Χριστὸν μονο[...]γενῆ τὸν Υἱόν σου, τῇ σήμερο[...] ἡμέρᾳ γεννηθῆναι, ὃ διὰ τῆς ἀ[...]γιασίας τοῦ Πνεύματος ἁγίου, ἐγέ[...]νετο ὄντως ἄνθρωπος, ἐξ οὐσί[...] Μαρίας τῆς Παρθένου μητρὸς αὐτοῦ[...] καὶ τοίνυν ἄνευ κηλῖδος τῆς ἁμαρ[...]τίας, ὥστε ἐκκαθαρεῖσαι ἡμᾶς ἀπ[...] πασῶν ἁμαρτιῶν· Διόπερ μετ' Ἀγ[...]γέλων. Καὶ τὰ λοιπά.

¶ Ἐπὶ τὴν ἡμέραν τοῦ Πάσχα, κ[...] ἑπτὰ τὰς ἐπακολουθούσας.

Μέγιστον δὲ πρὸς ἡμῶν ἐσ[...] ἐπευφημίζεσθαί σοι, ὑπὲρ [...] ἐνδοξοτάτης τοῦ Υἱοῦ σου Ἰησ[...] Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἀναστάσεως· οὗτος ὄντως τὸ Πάσχα ἡμῶ[...] ὃς ὑπὲρ ἡμῶν ἐτύθη, ὁ αἴρω[...] τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ παρ[...] τοῦ θανεῖν τὸν θάνατον καταργήσα[...] καὶ διὰ τοῦ ἀναστῆναι ζωὴν τὴν αἰώνιον ἀποκαταστήσας ἡμῖν· Διόπ[...] μετ' Ἀγγέλων. Καὶ τὰ λοιπά.

Ἐπ[...]

¶ Ἐπὶ τὴν Ἑορτὴν τῆς Ἀναβάσεως καὶ ἑπτὰ μετέπειτα τὰς ἡμέρας.

ΔΙ' ἀγαπητοῦ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ὁ μετὰ τὴν ἐνδοξοτάτην αὐτοῦ ἀνάστασιν γνωρίμως ἐξανεφάνη πᾶσι τοῖς Ἀποστόλοις, καὶ ἐνώπιον αὐτῶν ἀνέβη εἰς τοὺς οὐρανοὺς, πρὸς τὸ παρασκευάσαι ἡμῖν τὸν τόπον. ἵνα ὅπου τυγχάνει ὤν, ἀναβαίνωμεν, καὶ αὐτῷ ἐν δόξῃ συμβασιλεύωμεν· Διόπερ μετ' Ἀγγέλων. Καὶ τὰ λοιπά.

¶ Ἐπὶ τὴν Ἑορτὴν τῆς Πεντηκοστῆς, καὶ ἓξ ἔπειτα τὰς ἡμέρας.

ΔΙὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· καθ' ὃ παναληθῆ τὴν ὑπόσχεσιν τὸ ἅγιον Πνεῦμα τῇ σήμερον ἡμέρᾳ ἐκ τῶν οὐρανῶν κατέβη, μεθ' ἤχους ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ὤφθη ἐν ὁμοιώματι διαμεριζομένων γλωσσῶν, ὡσεὶ πυρὸς καθήμενον ἐφ' ἕνα ἕκαστον τῶν Ἀποστόλων, πρὸς τὸ ὑφηγεῖσθαι καὶ ὁδηγεῖσθαι αὐτοὺς εἰς πᾶσαν τὴν ἀλήθειαν· ὁ παρέσχετο αὐτοῖς τὸ διαφόρων γλωσσῶν χάρισμα, καὶ παρρησίαν εἰς τὸ μετὰ διαπεπυρισμένου ζήλου πᾶσι τοῖς ἔθνεσι βεβηκότως ἀνακηρύξαι τὸ Εὐαγγέλιον, δι' οὗ, ἐκ σκότους καὶ πλάνης ἐρρύσθημεν, εἰς τὸ λαμπρὸν φέγγος, καὶ ἀληθινὴν τὴν ἐπίγνωσιν σοῦ τε, καὶ τοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ· Διόπερ μετ' Ἀγγέλων. Καὶ τὰ λοιπά.

¶ Εἰς τὴν Κυριακὴν τῆς Τριάδος.

ἌΞιόν ἐστι, καὶ δίκαιον, τοῦτο πληρῶσαι τὸ δέον, παντελῶς, καὶ πανταχοῦ, εὐχαριστῆσαί σοι, Δέσποτα Κύριε, Παντοκράτωρ, αἰώνιε Θεός, ὁ τυγχάνεις ὢν εἷς Θεός, ὅμως δὴ οὐκ ἐν μονάδι τοῦ ἑνὸς προσώπου, ἀλλὰ μετὰ Τριάδος ὑποστάσεων ἐν μιᾷ τῇ οὐσίᾳ· ὃ γὰρ περὶ τῆς δόξης τοῦ Πατρὸς πιστεύομεν, τοῦτο καὶ περὶ τοῦ Υἱοῦ, καὶ Πνεύματος ἁγίου, ἄνευ οὐδεμιᾶς διαφορᾶς, οὔτε ἀνισότητος πεπείσμεθα. Διόπερ μετ' Ἀγγέλων. Καὶ τὰ λοιπά.

¶ Μεθ' ἃ προοίμια, ἐπισυνάπτεται τὰ ἑξῆς.

Διόπερ μετ' Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ πάσης τῆς ἐπουρανίων δυνάμεων πανηγύρεως ἐνδοξότατον ὄνομά σου ἀνυμνοῦμεν, καὶ μεγαλύνομεν ἀδιαπαύστως αἰνοῦντές σε, καὶ λέγοντες, Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος ὁ Θεὸς Σαβαώθ. πλήρεις οἱ οὐρανοὶ καὶ ἡ γῆ τῆς σῆς δόξης μεγαλειότητος· Ὡσαννὰ ἐν ὑψίστοις σοι Ὕψιστε Κύριε.

¶ " Εἶτα ὁ Ἱερεὺς ἐπὶ τὴν τοῦ
" Θεοῦ Τράπεζαν ὀκλάζων ἐν
" ὀνόματι τῶν τῆς Συνάξεως
" μετειληφότων, ταύτην ἐρεῖ
" τὴν εὐχήν.

ΟΥ'χὶ θαρροῦμεν ἐλθεῖν εἰς ταύτην τὴν σὴν Τράπεζαν, ἐλεῆμον Κύριε, τῇ ἡμετέρᾳ δικαιοσύνῃ, ἀλλὰ τῷ πλήθει τῶν οἰκτιρμῶν σου πεποιθότες· οὐκ ἄξιοι μέν ἐσμεν οὐδὲ τὰ ψιχία ἀπὸ τῆς σῆς Τραπέζης πίπτοντα συλλέγειν· Σὺ δὲ αὐτὸς ὁ Θεός, οὗ τὸ ἐλεεῖν ἐστι καὶ φείδεσθαι· χάρισαι οὖν, ἵλεως Κύριε, οὕτω τὴν ἀγαπητοῦ τοῦ Υἱοῦ

σου Ἰησοῦ Χριστοῦ σάρκα ἐσθίειν, καὶ τὸ αἷμα αὐτοῦ πίνειν ἡμᾶς, ὥστε ἁγνὰ ἡμῶν τὰ σώματα διὰ σώματος αὐτοῦ καθαρθείησαν, καὶ ψυχὰς ἡμῶν διὰ τιμιωτάτου τοῦ αἵματος αὐτοῦ λελούθησαν, ἐφ' ᾧ αὐτὸς ἡμῖν καὶ ἡμεῖς αὐτῷ πάντῃ πάντως ἐνοικῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Τότε Ἱερεὺς ἀνορθώσας φήσει τὰ ἑπόμενα.

ΠΑντοκράτωρ Θεός, Πατὴρ ἡμῶν οὐράνιος, ὁ διὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου δέδωκας μοναδικὸν τὸν Υἱόν σου ἐπὶ τὸν σταυρὸν ὑπὲρ τῆς ἡμῶν ἀπολυτρώσεως τὰ τοῦ θανάτου πεπονθότα, ἐνταῦθα μιᾷ αὐτοῦ ἅπαξ τεθυσιασμένου προσφορᾷ τὴν αὐτάρκη, ἀξιόχρεω, καὶ ἐντελῆ θυσίαν, λύτρον, καὶ ἱκανοποιΐαν ἀντὶ τῶν ὁλοκλήρου τοῦ κόσμου ἁμαρτιῶν ποιησάμενον· ὁ δὴ καὶ προστάξας καὶ ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ παραγγείλας ἡμᾶς ἀνεξάλειπτον πολυτίμου τοῦ θανάτου αὐτοῦ μέχρι οὗ ἐπανελεύσεται αὐτόν, τὸ μνημόσυνον ποιοῦντας διατελεῖν· εἰσάκουσον ἡμῶν ἀντιβολούντων (ἐλεημονέστατε Πάτερ) καὶ χάρισαι ὅπως ἡμεῖς ταῦτα τὰ κτίσματά σου, ἄρτον δηλαδὴ καὶ οἶνον, κατὰ τὸ τοῦ Υἱοῦ σου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καθεστηκός, εἰς ἀνάμνησιν αὐτοῦ τοῦ θανάτου καὶ πάθους ἀποδεχόμενοι· προσέτι εὐλογητοῦ τοῦ σώματος, καὶ αἵματος κοινωνοὶ γενώμεθα· ὃς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως καὶ τὸ ποτήριον ἔλαβεν μετὰ τὸ δειπνῆσαι, καὶ εὐ-
χαριστήσας ἔδωκεν αὐτοῖς, λέγω
πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γ
ἐστὶ τὸ αἷμά μου τὸ τῆς καινῆς Διαθ
κης, τὸ περὶ ὑμῶν καὶ περὶ πολλ
ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρ
τιῶν· τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνη
εἰς τὴν ἐμὴν ἀνάμνησιν.

¶ " Εἶτα ὁ Ἱερεὺς πρῶτον ἑκ
" τέρῳ τῷ εἴδει Εὐχαριστί
" ὑποδέξεται, ἐγγυτάτω δὲ Δια
" κόνοις τοῖς παροῦσιν, ἵνα
" αὐτοὶ τῷ τὰ πρωτεῖα φέρ
" τι συλλαβεῖν δυνηθῶσι, ἔπ
" τα δὲ τῷ λαῷ γονυπετοῦ
" εἰς τὰς χεῖρας αὐτῶν μεταδ
" ώσει τῆς Κοινωνίας· καὶ ὁ παρ
" χων τὸν ἄρτον, λέξει.

ΣΩμα Κυρίου ἡμῶν Ἰησοῦ Χρι
στοῦ τὸ περὶ σοῦ διδόμενον, φ
σάτω σου τὸ σῶμα καὶ ψυχὴν
ζωὴν τὴν αἰώνιον· τοῦτο λαβέ,
φάγε εἰς τὴν τοῦ Χριστοῦ ἀνάμνη
τοῦ διὰ σὲ τεθνηκότος, καὶ αὐ
ἐπισίτισον σε ἐν τῇ σῇ καρδίᾳ, μ
πίστεως καὶ εὐχαριστίας.

¶ " Καὶ Διάκονος ὁ διαδιδοὺς
" ποτήριον ἐρεῖ,

ΑἾμα Κυρίου ἡμῶν Ἰησοῦ Χρι
στοῦ, τὸ περὶ σοῦ ἐκχυνόμεν
σωσάτω σου τὸ σῶμα καὶ ψυχὴν
ζωὴν τὴν αἰώνιον· τοῦτο πίε
ἀνάμνησιν αἵματος τοῦ Χριστοῦ,
διὰ σὲ ἐκχυθέντος, καὶ εὐχαρί-
στησον.

¶ " Τότε ὁ Ἱερεὺς λέξει Κυρι
" κὴν τὴν εὐχὴν τοῦ λαοῦ
" ἑκάστην τὴν δέησιν ἀκολ
" θως ἀναπεμπάζοντος·
" ἐπιφέρεται ταῦτα.

Κύρι

Κύριε Πάτερ οὐράνιε, ἡμεῖς οἱ ταπεινοὶ δοῦλοί σου, τῆς σῆς πατρῴας ἀγαθότητος δεόμεθα, ἐπὶ τὸ ταύτην τὴν τῆς αἰνέσεως καὶ εὐχαριστίας θυσίαν ἐλεεινῶς ἀποδέξασθαι· λιπαρῶς ἀντιβολοῦντές σε χαρίσασθαι ἡμῖν, ὅπως ἕνεκα τῆς ἀξίας τε καὶ θανάτου τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἡμῶν εἰς τὸ αὐτοῦ αἷμα πεποιθήσεως, ἡμεῖς τε, καὶ πᾶσα ἡ Ἐκκλησία καθολικὴ τῶν πταισμάτων ἐξαλοιφῆς, καὶ τῶν ἄλλων τοῦ πάθους αὐτοῦ εὐεργεσιῶν ἀπολαύωμεν. Καὶ ἐνθάδε σοὶ Κύριε, ἡμᾶς αὐτοὺς, ψυχάς τε, καὶ σώματα γενέσθαι θυσίαν λογικὴν, ἁγίαν, καὶ ζῶσαν προσφέρομέν τε καὶ παριστάνομεν, ἐδαφισμένως ἱκετεύοντές σε, ἵνα ὅσοι ταύτης τῆς ἁγίας Συνάξεως συγκοινωνούμεθα, προσέτι τῆς σῆς χάριτος καὶ οὐρανίου τῆς εὐλογίας ἀναπληρώμεθα. Ἐπειδὴ δὲ διὰ τὰ παντοδαπὰ ἡμετέρων τῶν πλημμελημάτων οὐθ' ἥντινα οὖν θυσίαν εἰσενεγκεῖν σοι τοπαράπαν ἀνάξιοι τυγχάνομεν ὄντες· ὅμως δὲ ἀντιβολοῦμέν σε, ἵνα εὐδοκήσῃς τοῦτο τὸ προσῆκον ἡμῶν, καὶ ὀφειλομένην τὴν λατρείαν ἀπολαβών· Οὐκ ἄρα τὴν ἡμετέραν ἀξιότητα κατασταθμίζων, ἀλλ' ἐφ' οἷς ἡμαρτήκαμεν εὐνοϊκῶς συγγινώσκων, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· δι' οὗ, καὶ μεθ' οὗ, ἐν μονάδι τοῦ Πνεύματος ἁγίου, πᾶσα τιμὴ καὶ δόξα σοὶ φέροιτο ἄν, ὁ Πατὴρ Παντοκράτωρ, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ αὐτὴ εὐχή.

Παντοκράτωρ αἰώνιε Θεὸς, ἐκ καρδίας εὐχαριστήριά σοι προσάγομεν, ὅτι μὲν ἠξίωσας ἡμᾶς τοὺς πανάγια τὰ μυστήριά σου κατὰ τὸ δέον εἰληφότας πνευματικῇ ἐστίμα τοῦ σώματός τε καὶ αἵματος Υἱοῦ σου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τροφῇ σιτίσασθαι, καὶ περὶ τῆς σῆς εἰς ἡμᾶς εὐμενείας τε καὶ χρηστότητος ἐπιβεβαιοῦν προσκυρῶσαι ἡμᾶς, ὅτι τὰ ὄντως μέλη γεγόναμεν ἐν μυστικῷ τῷ σώματί σου, ἤγουν τῇ τῶν πεπιστευκότων κοινωνίᾳ συνημμένα, ὅτι καὶ βασιλείας τῆς αἰωνίου διὰ τὴν ἀξίαν τιμιωτάτου τοῦ θανάτου καὶ πάθους ἀγαπητοῦ τοῦ Υἱοῦ σου καὶ ἐλπίδα κεκληρονομήκαμεν. Ναὶ ἀντιβολοῦμέν σε, Πάτερ οὐράνιε, τῇ σῇ χάριτι παραστὰς ἡμῖν, ὅπως ἐν ταύτῃ τῇ ἁγίᾳ Κοινωνίᾳ ἑνωθέντες ἐμμένωμεν, καὶ περὶ καλὰ τῶν ἔργων ὧν ἡτοίμασας ἵνα ἐν αὐτοῖς περιπατῶμεν, μετὰ προθυμίας ἐσπουδακότες ὦμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ᾧ μετὰ σοῦ καὶ Πνεύματος ἁγίου, πᾶσα τιμὴ καὶ δόξα εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα λεχθήσεται ἢ ᾀσθήσεται.

Δόξα Θεῷ ἐν ὑψίστοις, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Σὲ αἰνοῦμεν, Σὲ εὐλογοῦμεν, Σὲ προσκυνοῦμεν, Σὲ δοξάζομεν, Σοὶ εὐχαριστοῦμεν διὰ μεγάλης τῆς δόξης σου Κύριε Θεὸς, οὐράνιε Βασιλεῦ, Θεὸς ὁ Πατὴρ ὁ Παντοκράτωρ· Κύριε Υἱὸς αὐτοῦ μονογενὴς Ἰησοῦ Χριστὲ, Κύριε Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, Υἱὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἱλάσθητι ἡμῖν· ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ἐλέησον ἡμᾶς· ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου πρόσδεξαι τὰς ἡμῶν εὐχάς· ὁ καθεζόμενος

ἐκ δεξιῶν Θεοῦ τοῦ Πατρὸς, ἐλέησον ἡμᾶς. Σὺ γὰρ μόνος Ἅγιος εἶ, καὶ σὺ μόνος Κύριος εἶ, σὺ μόνος, ὁ Χριστὸς, μετὰ Πνεύματος ἁγίου ἐν δόξῃ τοῦ Πατρὸς, ὕψιστος εἶ.

¶ « Τέλος δὲ, ὁ Ἱερεὺς, ἢ ὁ
« Ἐπίσκοπος, ἐὰν τυγχάνῃ
« παρὼν, ταύτῃ τῇ εὐλογίᾳ
« τὸν ὅμιλον ἀποπέμψειεν ἄν.

Εἰρήνη τοῦ Θεοῦ, ἡ πάντα τὸν νοῦν ὑπερέχουσα, φρουρήσῃ τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν, ἐν ἐπιγνώσει καὶ ἀγάπῃ τοῦ Θεοῦ, καὶ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· καὶ ἡ εὐλογία τοῦ Παντοκράτορος Θεοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ὑμῖν παρείη, καὶ ἀεὶ μεθ' ὑμῶν διαμείνῃ. Ἀμήν.

¶ « Ἐφέπονται αἱ Συλλογαὶ, ἃς
« ἐρητέον ἐστὶ μετὰ τὴν προσφο-
« ράν. Ἐὰν δὲ πανάγια
« Σύναξις μὴ τελεσθῇ, μία
« τῶν ἑξῆς εὐχῶν ὁσημέραι
« (ὁσάκις ἂν καιρὸς ἀπαιτοίη)
« ἄλλως τε καὶ, μετὰ τὰς εἰς ὄρθ-
« ρον, καὶ δείλην εὐχὰς, μετὰ
« Σύναξιν, καὶ Λιτανείαν, κατὰ τὸ
« δοκοῦν τῷ Διακόνῳ, λεχθή-
σεται.

Παράστηθι ἡμῖν ἐλεήμως, Κύριε, ἐν ταῖς προσευχαῖς καὶ ἱκεσίαις ἡμῶν· καὶ οὕτω τὴν τῶν σοι δουλευόντων ὁδὸν πρὸς τὸ τῆς αἰωνίου ζωῆς ἀπολαύειν ἰθυνῆς, ὥστε μεταξὺ τηλικαύτων τοῦ νῦν βίου μεταβολῶν τε καὶ παρεμπτώσεων, τῇ σῇ προσηνεῖ καὶ προχείρῳ βοηθείᾳ ἡμᾶς ὑπερασπίζεσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παντοδύναμε Κύριε, καὶ ἀΐδιε Θεὸς, εὐδοκείτω σοι, ἱκετεύομεν, τὸ τὰς καρδίας τε καὶ σώματα ἡμῶν ἐν τῇ ὁδῷ τῶν νόμων σου, καὶ ἐν τοῖς ἔργοις τῶν ἐντολῶν σου εὐθύνειν, ἁγιάζειν τε, καὶ διοικεῖν· ὥστε παντοκράτορι τῇ σῇ προστασίᾳ, σῶμα καὶ διάνοιαν διαφυλαχθῆναι ἡμᾶς· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παράσχου, Θεὸς ὁ παντοκράτωρ, ἀντιβολοῦμεν, ὅπως ὧν ῥημάτων ἔξω τοῖς ἡμετέροις ὠσὶν εἰσηκούσαμεν, διὰ τῆς σῆς χάριτος ἔσω ταῖς καρδίαις ἡμῶν ἐμφυτεύεσθαι, ἵνα καρποὺς τοῦ βίου καλοκἀγαθοῦ ἐξενέγκωμεν, εἰς τὴν τοῦ ὀνόματός σου τιμὴν καὶ δόξαν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Φθάσον ἡμῖν, Κύριε, ἐν πᾶσι τοῖς ἐπιτηδεύμασιν ἡμῶν εὐμενεῖ τῇ χάριτί σου, καὶ προσέλασον ἡμᾶς διηνεκεῖ τῇ σῇ βοηθείᾳ· ἵνα ἐν σοὶ τὰ ἔργα ἡμῶν ἐπιχειρήσαντες, προάγοντές τε, καὶ διανύσαντες, τὸ ἅγιον ὄνομά σου δοξάσωμεν, καὶ τελευταῖον, διὰ τῶν οἰκτιρμῶν σου, ζωῆς τῆς αἰωνίου ἀπολαύωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παντοκράτωρ Θεὸς, ὁ πάσης σοφίας πηγὴ ὢν, ὁ τὰς ἡμῶν χρείας πρὶν τοῦ αἰτεῖσθαι, καὶ τὴν ἄγνοιαν ἐν τῷ αἰτεῖσθαι γινώσκων· εὐσπλαγχνίσθητι ταῖς ἀσθενείαις ἡμῶν, καὶ ἅπερ διὰ τὴν ἀναξίαν ἡμῶν οὐδὲ τολμῶμεν αἰτεῖν· ἃ δὴ καὶ διὰ τὴν τυφλότητα ἡμῶν, οὐχ οἷοί τ' ἐσμὲν οὐδ' ὑποδεηθῆναι, εὐδόκησον ἡμῖν χαρίζεσθαι·

χαρίζεσθαι, διὰ τὴν ἀξίαν τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παντοκράτωρ Θεὸς, ὁ ἐπαγγειλάμενος ἀκεραίως δεήσεων τῶν ἐν ὀνόματι τοῦ Υἱοῦ σου ἀξιωσάντων, ἐνώπιον, ἀντιβολοῦμέν σε Κύριε, εὐχὰς καὶ ἱκετείας, ἃς νῦν πεποιήκαμεν, καὶ δέξασθαι, ὅπως ὧν, κατὰ τὸ θέλημά σου πεπιστευμένως ᾐτήσαμεν, πρὸς ἀναγκαίων ἡμῶν πορισμὸν, καὶ δόξης σου ἐπιφημισμὸν ἐνεργουμένως ἐπιτύχωμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ "Ἐὰν ἐν ταῖς ἑορταστικαῖς ἡμέραις οἱ κοινωνοῦντες οὐ παραγίνωνται, ἅπαντα τὰ ἐν τῇ Συνάξει προστεταγμένα λεχθήσεται μέχρι τέλους τῆς Ὁμιλίας, περαίνεται δὲ μετὰ γενικῆς εὐχῆς ὑπὲρ καταστάσεως τῆς καθόλου Ἐκκλησίας τοῦ Χριστοῦ ἐπὶ τῆς γῆς στρατευομένης, προστεθεὶς μιᾶς ἢ πλειόνων (κατὰ τὸ παράδοξον) τῶν προειρημένων Συλλογῶν.

¶ "Οὐχ ἕξει τελείως Κυριακὸν τὸ δεῖπνον πλὴν εἰ ἱκανὸς τῶν κοινωνησόντων ἀριθμὸς συνεγερθῇ κατὰ διακρίνησιν Διακόνου.

¶ "Ὁπόταν εἴκοσι μονονουχὶ ἀναφαίνεται τὰ πρόσωπα ἐν τῇ παροικίᾳ, ἀξιοπρεπῆ εἰς τὸ τὴν παναγίαν Εὐχαριστίαν ἀποδέξασθαι, τηνικαῦτα οὐ θέμις δεῖ τελέσαι τὴν Σύναξιν, εἰ μὴ τέσσαρες ἢ τουλάχιστον τρεῖς ἐπὶ τὸ μεταλαβεῖν συλλεχθῶσι.

¶ "Ἐν ταῖς Καθεδραίαις ἢ Συνεδραίαις ἐκκλησίαις, ὅπου πλεῖους εἰσὶν Ἱερεῖς καὶ Διάκονοι, ἐκεῖ σύμπαντες καθ' ἑκάστην Κυριακὴν τὴν ἡμέραν τῷ διακονοῦντι τὴν Εὐχαριστίαν συμμεταληψῶσι, πλὴν εἰ εὔλογός τις αἰτία διέλθῃ οὐ ἀπέχειν.

¶ "Πρὸς δὲ τὸ ἐξελεῖν ἣν τις ἂν δύναιτο ποθῆναι δεισιδαιμονίαν ἐν τῷ ἄρτῳ, ἢ τῷ οἴνῳ, ἀπόχρη τοιοῦτον εἶναι τὸν ἄρτον, ὁποῖον ἐπὶ τὴν βάτιζαν εἰθισμένως μετ' ὄψων ἐσθίομεν, κάλλιστον δὲ καὶ σιτηρέστατον ὡς οἷόν τ' ἔσται ποιῆσαι.

¶ "Ἣν δὲ ἐνδέχηται περιουσιάζειν τι τοῦ ἄρτου, ἢ τοῦ οἴνου, ὁ Κηδεμὼν ἕξει τὸ περίλοιπον.

¶ "Ἄρτος καὶ οἶνος διὰ τοῦ Κηδεμόνος καὶ ναοφυλάκων ἐπὶ τῶν τῆς παροικίας δαπάνῃ παρασκευασθήσονται, καὶ οἱ πάροικοι τῶν ἀργυρείων κεφαλαίων ἀπολύονται ὧν ἐκ πάλαι ἐν ἡμέραις ταῖς Κυριακαῖς εἰώθασιν ἐκτίειν. Φυλακτέον, ὅτι εἷς ἕκαστος παροικητῶν τρὶς εἰς τουλάχιστον κατ' ἔτος, ἄλλως τε καὶ ἅπαξ ἐπὶ τὸ Πάσχα συγκοινωνήσει, ὑπολήψεται δὲ τὰ μυστήρια καὶ τἄλλα θεσμοθέσια κατὰ τάξιν τὴν ἐν τῇ βίβλῳ κυρωθεῖσαν. Καὶ πᾶς ὁ πάροικος ἐπὶ τὸ Πάσχα τῷ ἑαυτοῦ Πρεσβυτέρῳ, Τοποτηρητῇ, Κηδεμόνι, ἢ ὅτινι οὖν αὐτοῖς ὑπολογισθέντι συμψηφιεῖ, καὶ πάντα Ἐκκλησιαστικὰ χρέα εἶτα ὀφειλημένα ἐκτίσει.

Η' ΒΑΠ-

¶ Η῾ ΒΑΠΤΙΣΜΟΥ ΥΠΗΡΕΣΙΑ,

ἣ ἐν ταῖς Ἐκκλησίαις ἡμῶν χρηστέον ἐστί.

Ἐξ ἀρχαίων τῶν γραφέων ὁμολογουμένον ἐστιν, ὅτι τὸ τοῦ Βα-
πτισμοῦ Μυστήριον δὶς μόνον καθ᾽ ἔτος, ἤγουν ἐπὶ τὸ Πάσχα
Πεντηκοστὴν εἰώθει ὑπηρετεῖσθαι. Ἐν οἷς οὖν καιροῖς δῆλον ἦν ἐπι-
πρὸν ἁπάσης Ἐκκλησίας κοινῇ τετελεσμένος. Ὁ γὰρ ἔθος νυ-
μὲ ἀπηρχαιωμένον, καίπερ οὐχ οἷόν τ᾽ ἐστι διὰ πολλῶν αἰτιῶν ἀπο-
κατασῆναι ἔδοξε ὡς μάλιστα προσηκόντως ἠδυνήθη, μιμεῖσθαι.
Νουθετητέον ἄρα ἡμῖν ἐστι τὸν λαόν, ὅτι ἄκμην συμφέρει διακο-
νηθῆναι τὸ Βάπτισμα μόνον ἐν ἡμέραις ταῖς Κυριακαῖς, ἢ ἄλ-
Ἑορτασικαῖς, ὅταν συχνότερον πλῆθος τυγχάνει συνειλεγμένον,
ἐφ᾽ ᾧ παρόντα τὸν Ὅμιλον δύνασθαι τῇ νεοφύτων εἰς Ἐκκλησίαν τοῦ
Χριστοῦ συγκαταλέξαι ὑποδοχῇ, ἐπιμαρτυρῆσαί τε, καὶ ἐκ τῶν νηπί-
βαπτισμοῦ τὴν ἑαυτῶν ἐξομολόγησιν τῷ Θεῷ προπάλαι πεποιη-
μένην ἀναμιμνήσκεσθαι. Εὐπρεπὲς οὖν ἐγχωρείῳ τῇ γλώσσῃ ὑπηρετεῖσθαι
τὸ Βάπτισμα. Ἀλλ᾽ ὅμως ἔξεστιν ἐν καιρῷ τῆς ἀνάγκης οἴκοι
βεβαπτίσθαι τὰ παιδία.

Ὅταν ἐν ἡμέρᾳ Κυριακῇ ἢ ἄλλῃ τινὶ Ἑορτῇ βαπτιστέον ἐστὶ τοὺς
παῖδας, δεῖ γονεῖς αὐτῶν προτεραίᾳ τῇ νυκτὶ ἢ ταυτήμερον πρὶν
ἄρχεσθαι ὀρθρινὰς εὐχὰς τοῦτο τῷ Κηδεμόνι ἐπισημαίνειν· ὅτι ὁ
συμπατέρες τε καὶ συμμήτερες ξὺν τῷ λαῷ ἀμελλητὶ μετὰ τὸ ὕστερον
Ἀνάγνωσμα ἐν ἑωθιναῖς ἢ ἑσπεριναῖς εὐχαῖς (ὡς ἔοικε τῷ Κη-
δεμόνι) ἐπὶ τὸ Βαπτιστήριον μετὰ τῶν παιδίων προσχωρήσουσι, ὅπου
Διάκονος ἑστὼς πύσεται εἰ ἄρα τοῦτο τὸ παιδίον ἤδη βαπτισθῇ, ἢ
δῆτα ἀποκειθῇ, οὐ πάνυ· εἶτα τὸν δὲ τρόπον ἐρεῖ ὁ Ἱερεύς.

Ἐπειδὴ (κεχαριτωμένοι ἀγαπητοὶ) ἅπαξ ἅπαντες οἱ ἄνθρωποι ἐν τῇ ἁμαρτίᾳ συλληφθῶσι, καὶ τεχθῶσι, καὶ Ἰησοῦς Χριστὸς ἡμῶν ὁ Σωτὴρ φάσκει, ὅτι ἐὰν μή τις ἐξ ὕδατος καὶ Πνεύματος ἁγίου γεννηθῇ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ἐλθεῖν μὴ δυνᾶται, τοίγαρ ἀντιβολοῦμαι ὑμᾶς τὸ ἐπικαλεῖσθαι Θεὸν τὸν Πατέρα, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἕνε-
κεν, ὅπως ἐκ φιλοδώρου τοῦ ἐλέους αὐτοῦ τούτοις τοῖς παιδίοις, ἃ κατὰ φύσιν οὐχ οἷά τ᾽ ἐστι λαβεῖν, εὐδοκοίη ἂν χαρίσασθαι, ἤγουν, ὅτι αὐτὰ τῷ ὕδατι καὶ Πνεύματι ἁγίῳ βαπτισθῆναι, καὶ εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν προσληφθῆναι, ἅμα καὶ ζῶντα αὐτῆς τὰ μέλη γενηθῆναι.

¶ Εἶτα λέξει ὁ Ἱερεύς.

Παντοκράτωρ ἀΐδιε Θεός, ὃ ἐκ μεγάλου τοῦ ἐλέους σου τὸν Νῶε καὶ ἑαυτοῦ

ἑαυτοῦ τὴν οἰκίαν ἐν τῇ Κιβωτῷ, ὥστε οὐ μὴ ἐν τῷ κατακλυσμῷ ἀπολωλέναι διασώσας· ὁ δὲ καὶ, τοὺς τοῦ Ἰσραὴλ παῖδας τὸν σὸν λαὸν παρ᾽ ἐρυθρὰν τὴν θάλασσαν, μετ᾽ ἀσφαλείας ποτὲ χειραγωγήσας· ἐντεῦθεν ἅγιον τὸν σὸν Βαπτισμὸν ὑποτυπούμενος. Ἔπι γὰρ ὁ, διὰ Βαπτίσματος ἀγαπητοῦ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τὸν ποταμὸν Ἰορδάνου, καὶ τὰ δεῖνα πάντα ὁπηδήποτε ὄντα τὰ ὕδατα, πρὸς τὴν τῶν ἁμαρτιῶν ἀπόρρυψιν, ἀνιερώσας· ἱκετεύομέν σε, διὰ ἄπειρα τὰ ἐλέη σου, εἰς ταῦτα τὰ βρέφη ἐπίσκεψαι, ἁγίασον καὶ λοῦσον αὐτὰ Πνεύματι Ἁγίῳ, ὥστε τῆς σῆς ὀργῆς ἀπαλλαγέντα, εἰς κιβωτὸν Ἐκκλησίας τοῦ Χριστοῦ ἀναληφθῆναι· καὶ μὲν καὶ ἐν τῇ πίστει στεῤῥωθέντα, τῇ τε ἐλπίδι ἀγαλλιῶντα, καὶ τῇ ἀγάπῃ καταῤῥιζωθέντα, οὕτω τῶν τουτουὶ ταραχώδους τοῦ κόσμου κυμάτων διαφιγέσθαι, ὥστε ζωῆς τῆς αἰωνίου λιμένι προσοκέλλειν τε, κἀκεῖθεν σοὶ συμβασιλεύειν, εἰς αἰῶνας τῶν αἰώνων· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΠΑντοκράτωρ καὶ ἄφθαρτε Θεὸς, ὃς τυγχάνεις ὢν ἐπικουρία ταλαιπωρούντων, σωτηρεία τῶν σῆς βοηθείας ἐπικαλεσάντων, ζωὴ τῶν πεπιστευκότων, καὶ τεθνηκότων ἡ ἀνάστασις· θεοκλυτοῦμέν σε ὑπὲρ τούτων τῶν νηπίων, ὥστε εἰς τὸν σὸν Βαπτισμὸν προσελθόντων πνευματικῇ τῇ παλιγγενεσίᾳ συγγράμμης ἁμαρτιῶν ἐπιτεύξεσθαι· ὑπόδεχου αὐτὰ καθάπερ ὑπέσχου διὰ τοῦ ἀγαπητοῦ Υἱοῦ σου, λέγοντος, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· οὕτω· ἄρα δὸς ἡμῖν αἰτοῦσι, ἵνα καὶ ζητοῦντες εὑρήσωμεν, καὶ κρούουσιν ἡμῖν τὴν θύραν διοίγε· ὅπως οὗτοι οἱ νεογνοὶ τῆς τοῦ λουτροῦ ἐπουρανίου εὐλογίας ἀπολαύωσι, καὶ εἰς βασιλείαν τὴν αἰώνιον, ἣν διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐπηγγείλω, μετελάσωσιν:

¶ Εἰσακούσατε τῶν ῥημάτων Εὐαγγελίου διὰ ἁγίου Μάρκου τῶν ἐν δεκάτῳ κεφαλαίῳ γεγραμμένων.

ΚΑὶ προσέφερον αὐτῷ παιδία ἵνα ἅψηται αὐτῶν, οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν· Ἰδὼν δὲ ὁ Ἰησοῦς, ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς, ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ, ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν· καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, ηὐλόγει αὐτά.

¶ “ Ληξάσης Ἀναγνώσεως Εὐ-
“ αγγελίου, ταύτην τὴν σύντο-
“ μον Παραίνεσιν ἐπὶ τὰ δὴ
τὰ ῥήματα ποιήσει.

ΕἸσακούετε (ὦ τὰν) ἐν τουτωὶ τῷ Εὐαγγελίῳ τῶν λόγων Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ· ὡς ἐκέλευσε τὰ παιδία προσενεχθῆναι αὐτῷ, ὡς ταῦτα μὴ ἀπείργουσιν αὐτοῦ, κλίνας ἐπετίμησεν, ὡς καὶ ἀκακίαν αὐτῶν μιμεῖσθαι πάντας παρώτρυνεν, ἐκ τῆς ἐκτὸς μετουσίας τε, καὶ πράξεως ἐστὶν ὁρᾷν, ὅτι τὴν εὔνοιαν τὴν

πρὸς αὐτὰ ἐπεδείξατο, ἐνηγκάλισεν αὐτὰ, καὶ τὰς χεῖρας αὐτοῖς ἐπέθετο καὶ ηὐλόγησεν αὐτά· οὐκ ἄρα ἀμφισβητεῖτε, ἀλλὰ στερεῶς πιστεύετε, ὅτι παραπλήσιον τὰ παρόντα παιδία εὐμενῶς ἀποδέξεται, ὅτι ταῖς τῆς εὐγνωμοσύνης ἀγκάλαις περιπτύξει, ὅτι τὴν τῆς αἰωνίου ζωῆς εὐλογίαν αὐτοῖς δωρήσει, καὶ αὐτὰ βασιλείας τῆς αἰωνίου μετέχοντα ποιήσει. Τοιγάρτοι οὕτως ἡμεῖς πεποιθότες περὶ τῆς τοῦ Πατρὸς ἡμῶν ἐπουρανίου πρὸς ταῦτα τὰ βρέφη φιλοφρονήσεως, ὑπὸ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἐπαγγελθείσης, καὶ οὐδαμῶς ἐνδοιάζοντες εἰ ἄρα δοκιμάσῃ τοῦτο τὸ ἔργον ἡμῶν τῆς ἀγάπης, ἐν τῷ ταῦτα τὰ νήπια εἰς τὸ ἅγιον αὐτοῦ Βάπτισμα προσενεγκεῖν· πιστῶς ἡμεῖς καὶ εὐσεβῶς ὡς ἔπειτα λαλοῦντες, αὐτῷ εὐχαριστήσωμεν.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὁ Πατὴρ ἡμῶν οὐράνιος, ἡμεῖς κατηφῆ τὰ χαριστήριά σοι προσάπτομεν, ὅτι ηὐδόκηταί σοι καλέσαντι ἡμᾶς πρὸς τὴν τῆς σῆς χάριτος ἐπίγνωσιν, καὶ πρὸς τὴν ἐπὶ σοὶ πεποίθησιν, αὔξησον ἡμῖν ταύτην τὴν ἐπιστήμην, ἐμπέδωσον ἡμῖν εἰσαεὶ ταύτην τὴν πίστιν, καὶ τούτοις τοῖς νηπίοις τοῦ σοῦ Πνεύματος ἁγίου μετάδος, ὥστε σωτηρίας τῆς αἰωνίου κληρονομήσειν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὃς συζῇ καὶ συμβασιλεύει σοί τε καὶ Πνεύματι ἁγίῳ, εἷς Θεὸς, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ “Εἶτα ὁ Ἱερεὺς τοὺς σύμπατράς τε καὶ συμμητέρας τόνδε τρόπον προσφωνήσει.

ΤΑῦτα τὰ βρέφη, ὦ ἀγαπητοὶ, ἐνθάδε εἰσενηνόχατε πρὸς τὸ Βαπτισθῆναι, προσηύξασθε τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὥστε ἀξιῶσαι αὐτὰ ὑποδέχεσθαι, τὰς ἑαυτοῦ χεῖρας ἐπ᾽ αὐτὰ τιθέναι, τὰς ἁμαρτάδας ἀφιέναι, βασιλείαν αὐτοῖς τὴν οὐράνιον, καὶ ζωὴν τὴν αἰώνιον διαδιδόναι· ἐνωτίσατε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν Εὐαγγελίῳ τὰ παρ᾽ ὑμῶν αἰτηθέντα δωρήσασθαι, ὑπισχόμενον· ἥντινα ἐπαγγελίαν (ὅσον πρὸς ἐκείνου δεῖ) βεβηκότως ἐπιτελέσει, καὶ κυρώσει. Τοιγαροῦν, μετὰ ταύτην τὴν ὑπόσχεσιν ὑπὸ Χριστοῦ πεποιημένην, δεῖ ταῦτα τὰ παιδία δι᾽ ὑμῶν κατεγγυόντων ἐν αὐτῶν μέρει ἐπαγγέλλεσθαι, τοῦ χαίρειν ἐᾶν τὸν διάβολόν τε, καὶ ἅπαντα αὐτοῦ τὰ ἔργα, καὶ βεβαίως τῷ Θείῳ λόγῳ πεποιθέναι· τέλος δὲ, τὰ προστάγματα αὐτοῦ πειθαρχέντως παρατηρῆσαι.

¶ Τότε ὁ Ἱερεὺς πύσεται τῶν μεσεγγύων, τόνδε τρόπον.

Σὺ δῆτα ἀποτάττῃ τῷ διαβόλῳ τε, καὶ πᾶσιν αὐτοῦ τοῖς ἔργοις, ματαίᾳ τῇ πομπῇ καὶ δόξῃ τουτοὶ τοῦ αἰῶνος, μετὰ τῶν πλεονεξιῶν αὐτοῦ, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις, ὥστε οὐ μὴ βούλεσθαι σεαυτὸν οὔτε ἀκόλουθον, οὔτε ἀγώγιμον αὐταῖς παρέχειν;

Ἀπόκρισις.

Ναὶ πᾶσι τούτοις ἀποτάττομαι.

Διάκονος.

Πιστεύεις εἰς Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ μονογενῆ, Κύριον ἡμῶν, συλληφθέντα ἐκ Πνεύματος Ἁγίου, γεν-

νηθέντα

θέντα ἐκ Μαρίας τῆς Παρθένου, παθόντα ὑπὸ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα, κατελθόντα εἰς ᾅδου, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν; ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ Θεοῦ Πατρὸς παντοκράτορος, ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς; πιστεύεις εἰς Πνεῦμα τὸ ἅγιον· τὴν ἁγίαν Ἐκκλησίαν καθολικὴν, ἁγίων Κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, καὶ μετὰ τὸν θάνατον ζωὴν αἰώνιον;

Ἀπόκρισις.

Πᾶσι τούτοις ἐμπεδῶς πιστεύω.

Διάκονος.

Ἀξιοῖς Βαπτίζεσθαι εἰς ταύτην τὴν πίστιν.

Ἀπόκρισις.

Ἀξιῶ.

¶ Εἶτα λέξει ὁ Ἱερεύς.

ΧΑρισαι ἐλεῆμον ὁ Θεὸς, ἵνα παλαιὸς ὁ Ἀδὰμ ἐν τούτοις νηπίοις οὕτω διαταφῇ, ὥστε καινὸν τὸν ἄνθρωπον ἐγερθῆναι.

Χορήγησον, ἵνα πάντα σαρκικὰ τὰ πάθη νεκρωθῇ, καὶ πάντα τὰ τῷ Πνεύματι προσήκοντα ἐν αὐτοῖς βιοῖ τε καὶ αὐξηθῇ.

Δώρησον αὐτοῖς ἰσχύν τε καὶ δύναμιν ἐπὶ τῷ κατὰ τοῦ Σατανᾶ, τοῦ κόσμου τε, καὶ τῆς σαρκὸς νικηφορῆσαί τε, καὶ θριαμβεῦσαι.

Παράσχου, ὥστε ὅσοι τῇ διακονίᾳ ἡμῶν καὶ λειτουργίᾳ τυγχάνουσι καθιερωμένοι, προσέτι οὐρανίων τὴν ἀρετὴν μεταλαχεῖν, καὶ διὰ τοῦ ἐλέους σου εἰς αἰῶνα βραβεύεσθαι. Εὐλογητὲ Θεὸς ὁ Κύριος ἡμῶν, ὃς ζῇς καὶ περὶ πάντων βασιλεύεις, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὅπου ὁ Υἱὸς ὁ ἀγαπητὸς Ἰησοῦς Χριστὸς περὶ τῆς ἡμετέρων τῶν ἀνθρώπων ἐξαλοιφῆς ἐκ τιμιωτάτης ἑαυτοῦ τῆς πλευρᾶς τὸ αἷμα καὶ ὕδωρ ἐκχέας, καὶ μαθηταῖς αὐτοῦ παραγγείλας, τὸ Διδάσκειν καὶ Βαπτίζειν πάντα τὰ ἔθνη ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου· πρόσδεξαι, ἀντιβολοῦμεν, τὰς τοῦ Ὁμίλου ἱκεσίας, καὶ χάρισαι πᾶσι τοῖς δούλοις σου τοῖς τούτῳ τῷ ὕδατι Βεβαπτισμένοις, τὸ τῆς σῆς χάριτος πλήρωμα ὑποδέξασθαι, καὶ ἐγγεγραμμένοις εἰς τοὺς πιστοὺς καὶ ἐκλεκτοὺς τῶν σου τέκνων ἀκαταλείπτως διατελεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ “ Εἶτα ὁ Ἱερεὺς λαμβάνων εἰς τὰς χεῖρας τὸ παιδίον, πύσεται τὸ ὄνομα, καὶ ὀνομάζων αὐτὸ, ἐφ' ὕδατι περιεσκεμμένως ἐπικλύσει, φάσκων.

Ν. Ἐγὼ Βαπτίζω σε ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου. Ἀμήν.

¶ “ Ἐὰν δὲ τὸ βρέφος ἀρρώστως ἔχῃ, ἀπόχρη τῷ ὕδατι αὐτὸ κατὰ μικρὸν ῥαντίσαι, ὡς ἄνω λέγων.

Ν. Ἐγὼ Βαπτίζω σε ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου.

¶ “ Τότε ὁ Ἱερεὺς ἀπεικάσει τὸν Σταυρὸν ἐπὶ μετώπου τοῦ παιδίου, ταῦτα προσθέμενος.

ἘΓκαταλάπτομεν τοῦτο τὸ παιδίον εἰς τὴν τῆς ποίμνης τοῦ Χριστοῦ Ὅμι-

λον, καὶ ἐνσημαίνω αὐτῷ τὸ τοῦ Σταυροῦ σύμβολον, ἐπὶ τὸ αἰνίττεσθαι, ἵνα μήπως ἀποτοῦδε ἐπαισχυνθῇ τὴν τοῦ Χριστοῦ σταυρωθέντος πίστιν ὁμολογήσας, καὶ ἀνδρείως ὑπὸ συνθημάτων αὐτοῦ περὶ τὴν ἁμαρτίαν, κόσμον τε, καὶ διάβολον, ἄσπονδον πόλεμον πολεμήσας, στρατιώτης ἔνορκος καὶ πιστὸς ἐκείνου δοῦλος μέχρι τοῦ ἀπαλλαγῆναι παραμείνας.

Ἐπειδὴ (ὦ ἀγαπητοὶ) ταῦτα τὰ παιδία νυνὶ ἀνεγεννήθη, καὶ εἰς τὸ σῶμα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἐγκεντρισθῇ· τῷ Θεῷ διὰ ταύτην τὴν εὐεργεσίαν εὐχαριστήρια εἴπωμεν, καὶ τῷ παντοκράτορι τὰς εὐχὰς ἡμῶν ὁμοθυμαδὸν ποιήσωμεν, ὥστε κατὰ ταύτην τὴν ἀρχήν, τὸ τοῦ νῦν βίου περίλοιπον διαπερᾶν.

¶ Μετὰ ταῦτα λέξει ὁ Ἱερεύς.

Χαίρειν σοι (ἐλεημονέστατε Πάτερ) ἐκ καρδίας ἡμῶν προσάπτομεν. ὅτι ηὐδόκει τό σοι τοῦτο τὸ βρέφος Πνεύματι Ἁγίῳ παλιγγενήσαντι, καὶ ὡς ἴδιον δι' υἱοθεσίας παῖδά σου ἀποδεξαμένῳ, ἅμα δὲ καὶ εἰς ἱερὸν τὸν Ὅμιλόν σου ἐμφυτεύσαντι, ταπεινοφρόνως δεόμεθά σου χαρίζεσθαι, ὥστε νεκρὸν ὄντα τῇ ἁμαρτίᾳ, ζῶντα δὲ δικαιοσύνῃ, καὶ ξὺν Χριστῷ ταφέντα ἐν ἑῷ τῷ θανάτῳ, ἀξιοῦσθαι τὸν παλαιὸν τὸν ἄνθρωπον ἀνασκολοπίζεσθαι, καὶ ὅλον τὸ τῆς ἁμαρτίας σῶμα ἐξαφανίζεσθαι· καὶ ὥσπερ θανάτου τοῦ Υἱοῦ σου μέτοχος ἐγενήθη· οὕτω τῆς αὐτοῦ ἀναστάσεως μετασχήσειν, ἵνα καὶ τὸ τελευταῖον κατὰ τοῦ τῆς σῆς ἐπισυναγωγῆς λείμματος, βασιλείας τῆς αἰωνίου κληρονομήσῃ· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ « Τέλος δέ, ὁ Ἱερεὺς προσβλέ-
« πων ἐγγυητάς, τὴν ἑξῆς Παραί-
« νεσιν ἀγορεύσει.

Ὁπηνίκα ταῦτα τὰ παιδία δι' ὑμῶν ὑπέσχηται, τοῦ βδελύσσειν τὸν διάβολον καὶ πάντα αὐτοῦ ἀπεργάσματα, πιστεύειν εἰς τὸν Θεόν, καὶ λατρεύειν αὐτῷ, χρὴ ὑμᾶς διὰ μνήμης ἔχειν, ὅτι πρὸς ὑμῶν ἐστὶ προνενοημένον, ὅπως οὗτοι οἱ νεογνοὶ παιδευθῶσι, ὡς αὐτίκα οἷοί τ' ἔσονται μαθητεύεσθαι. ὅσην δημοτελῆ τὴν Εὐχολήν, Ἐπαγγελίαν τε καὶ Ἐξομολόγησιν δι' ὑμῶν ἐποιήσαντο, ἵνα δὲ εὐκοπώτερον ἐπιγνοῖεν ἂν τοιαῦτα διανύσαντες. δεῖ ὑμᾶς παρορμᾶν αὐτοὺς ἐπὶ τὸ ἀκροᾶσθαι Ὁμιλίας, ἄλλως τε καὶ ἐπιμελητέον ὑμῖν, ἵνα δυνηθῶσι ἐπιχωρίῳ τῇ γλώσσῃ ἀποστοματεῖν κεφάλαια τῆς Πίστεως, Εὐχὴν τὴν Κυριακήν, Δέκα τὰς Ἐντολὰς καὶ τὰ λοιπά, ὅσα προσήκει ἀνθρώπῳ τῷ Χριστιανῷ περὶ τὴν τῆς ψυχῆς σωτηρίαν εἰδέναι τε καὶ πεποιθέναι. Πρὸς τούτοις, ὥστε ἐκεῖνα τὰ παιδία σπουδαίως τετράφθαι, πρὸς τὸ εὐσεβῆ καὶ Χριστιανὸν βίον διάγειν· Παρὰ πάντων ἀναμνήσαντες, ὅτι ὁ Βαπτισμὸς ἡμῖν τὴν ἡμετέραν ὁμολόγησιν ὑποτυποῖ, δηλαδὴ ἐπακολουθεῖν τῷ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ παραδείγματι, καὶ ὁμοιωθῆναι αὐτῷ, ἐφ' ᾧ, καθάπερ οὗτος ὑπὲρ ἡμῶν ἀπέθανε, καὶ ἀνέστησεν· οὕτω δεῖν

δεῖν ἡμᾶς ἤγουν βεβαπτισμένους τῇ ἁμαρτίᾳ ἀποτεθνηκέναι, καὶ εἰς δικαιοσύνην ἀναστῆναι, ἐξαγεῖς καὶ ἐφθορμίας τὰς ἐπιθυμίας διηνεκῶς νεκρώσαντας, καὶ ἐν ἁπάσῃ τῇ ἀρετῇ καὶ τῇ τῆς ζωῆς εὐσεβείᾳ ἑκάστοτε ἐγκαρτερεῖν προκόπτοντας.

¶ Ὁ Διάκονος προστάξει, ὅπως τὰ παιδία εἰς τὸν Ἐπίσκοπον πρὸς τὸ ἐπιστηριχθῆναι εἰσενεχθῇ, ὡς αὐτίκα δύναιτ' ἂν ἐγχωρίῳ τῇ γλώσσῃ τὰ ἄρθρα τῆς Πίστεως, Κυριακὴν τὴν Εὐχὴν, καὶ Δέκα τὰς Ἐντολὰς ἀναπεμπάζειν, καὶ προσέτι παιδευθῇ ἐν τῷ Κατηχισμῷ τῷ πρὸς τοῦτο τὸ τέλος ἐκδοθέντι, ὡς κἀκεῖσε δηλοποιεῖται.

¶ ΠΕΡΙ ΤΩΝ ΟΙΚΟΙ ΚΑΤ' ΙΔΙΑΝ ΒΕΒΑΠΤΙΣΜΕΝΩΝ ἐν καιρῷ τῆς ἀνάγκης ὑπὸ τοῦ Διακόνου μόνου τῆς Παροικίας, ἢ ἄλλου τινὸς οὖν ὑπηρέτου θεσμίου, οὗ ἐνδέχεται τυχεῖν.

Οἱ Ποιμένες καὶ Κηδεμόνες τὸν λαὸν πολλάκις νουθετήσουσι, μηδαμῶς ἀναβάλλειν βρεφῶν τὸ Βάπτισμα πορρωτέρω Κυριακῆς τῆς ἐνεστώσης, ἢ ἄλλης τινὸς Ἑορτῆς δῆτοι γενεθλίοις τοῦ παιδίου ἐπομένης, εἰ μὴ μεγάλη καὶ εὔλογος ἡ αἰτία τῷ Κηδεμόνι σαφηνισθεῖσα, καὶ παρ' αὐτοῦ εὐδοκιμοῦσα καταναγκάτῃ.

¶ Ἔπειτα δὲ τὸν λαὸν παραινέσουσιν, εἰ μὴ βαρεῖα τις ἐπείγῃ ἡ αἰτία, οὐ πάνυ τὰ παιδία οἴκοι βαπτίζεσθαι.

¶ Πρῶτον θερμῶς ὁ Διάκονος καὶ οἱ παρόντες, τὸν Θεὸν ὑπὲρ τῆς χάριτος καὶ βοηθείας ἐπικαλέσουσι, καὶ (εἰ παραπίπτοι ἂν συγκαιρία) Εὐχὴν τὴν Κυριακὴν λέξουσι· εἶτα προειρημένος ἔνθεσμος ὁ Διάκονος τὸν ἀρτίγονον ὀνομά τινος τῶν παρεστηκότων ὀνομασθέντα ἐφ' ὕδατι βάψει, ἢ ἐπ' αὐτὸν τὸ ὕδωρ ῥαντιεῖ, τὰ ἑξῆς εἰπὼν ῥήματα.

Ν. Ἐγὼ βαπτίζω σε ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου. Ἀμήν.

¶ Οὐδέ τις ἀπορήσειε ἂν εἰ ἄρα τὸ παιδίον οὑτωσὶ βαπτισθὲν, νομίμως καὶ ἀποχρώντως βαπτισθῇ, καὶ οὐδαμῇ χρείαν ἔχει τοῦ ἀναβεβαπτίσθαι. Ἀλλὰ μὲν οὖν εἰ τὸ παιδίον τόνδε τρόπον βαπτισθὲν περιγενήσεται, τηνικαῦτα δέον ἐστὶν εἰσενηνοχέναι τὸ βρέφος εἰς τὴν Ἐκκλησίαν, ἐφ' ᾧ, Ὅμιλον, (ἐπειδήπερ ὁ ταύτης τῆς Παροικίας Πρεσβύτερος

“πρεσβύτερος, ἢ Διάκονος ἐβάπτισεν) ἀληθινὴν Βαπτίσματος ὑποτύπωσιν ἔνδον οἰκίας ὑπ᾽ αὐτοῦ ὑπηρετηθεῖσαν, οἷόν τ᾽ εἶναι ἐπιγνῶναι. Ἐὰν δὲ παιδίον ὑπό τινος ἄλλου νομίμου τοῦ ὑπηρέτου βεβάπτισται, ἵνα ὁ Διάκονος τηλικαύτης τῆς παροικίας ὅπου μὲν ἐτέχθη καὶ ἐβαπτίσθη τὸ παιδίον δυνηθῇ διακριβῶσαι καὶ πειρᾶσαι εἰ ἄρα τοῦτο τὸ παιδίον θεμιτῶς ἤδη βαπτισθῇ. Ἐὰν δὲ οἱ τὸ νήπιον ἐν τῷ νεῷ συνιστάντες ἀποκριθήσονται, ὅτι ἤδη ἐβεβάπτιστο, εἶτα ὁ Διάκονος περαιτέρω ἐξετάσει.

Παρὰ τίνος τουτὶ τὸ παιδίον ἐβαπτίσθη;

Τίνες οὖν παρόντες ἐτύγχανον ἐν τῷ βαπτισθῆναι τὸ παιδίον;

Ἐπειδὴ οὐσιῶδές τι τουτοὶ τοῦ Μυστηρίου, ἤτοι διὰ τὸ φοβεῖν, ἢ διὰ τὸ σπεύδειν οἷόν τ᾽ ἐστιν ὑστερεῖσθαι, ποίῳ τινὶ τῷ στοιχείῳ βαβάπτισται τοῦτο τὸ παιδίον;

Τίσι δῆτα τοῖς ῥήμασι τουτὶ τὸ βρέφος ἐβαπτίσθη;

Μῶν δήπου ἔοικεν ὑμῖν τοῦτο τὸ νήπιον θεμιστῶς καὶ ἀνενδεῶς βεβαπτίσθαι;

¶ “Ἐπειδὰν ὁ Ἱερεὺς ἐξ ἀποκρίσεων τῶν παῖδα ἐφηγουμένων πύθοιτο ὅτι ἅπαντα κατὰ τὸ δέον διαπέπρακται, τηνικαῦτα οὐ πάνυ θέμις ἐστὶν ἀναβαπτίσαι τὸ παιδίον, ἀλλ᾽ ἀποδεκτέον ἐστὶ εἰς Ἀγέλην Χριστιανοῦ τοῦ λαοῦ, καὶ ἐρεῖ ὁ Διάκονος.

ΠΑρεγγυῶ ὑμῖν, ὅτι πάντα ἐν τούτῳ τῷ ἔργῳ κατ᾽ ὀρθὴν καὶ συμπρέπουσαν τὴν τάξιν ἐστὶ τετελεσμένα περὶ τοῦ βαπτίζειν τοῦτο τὸ νήπιον, ὃ ἐν συμπεφυκυίᾳ τῇ ἁμαρτίᾳ καὶ ἐπὶ θείᾳ τῇ ὀργῇ κυηθὲν, τανῦν διὰ λουτροῦ παλιγγενεσίας εἰς ἀπογραφὴν τῶν τοῦ Θεοῦ τέκνων τε καὶ ζωῆς αἰωνίου κληρονόμων ἀναφέρεται. Καὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἔξαρνός ἐστι τῆς χάριτος καὶ συγγνωμοσύνης αὐτοῦ πρὸς ταῦτα τὰ παιδία, ἀλλὰ φιλοφρόνως παραγγέλλει αὐτὰ εἰς αὐτὸν προσελθεῖν, καθάπερ πανάγιον τὸ Εὐαγγέλιον εἰς ἡμετέραν τὴν παραμυθίαν διαμαρτυρεῖ.

ΚΑὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν, οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν· ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς, ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν, καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, ηὐλόγει αὐτά.

¶ “Ληξάσης Ἀναγνώσεως Εὐαγγελίου, ταύτην τὴν σωτήριον Παραίνεσιν ἐπὶ τάδε τὰ ῥήματα ποιήσει.

ΕἸσακούετε (ὦ τᾶν) τουτωὶ τῷ Εὐαγγελίῳ τῶν λόγων Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ· ὡς ἐκέλευσε τὰ παιδία προσενεχθῆναι αὐτῷ, ὡς, ταῦτα μὲν ἀπείργουσιν αὐτοῦ, λίαν ἐπετίμησεν, ὡς καὶ

ἀγροικίαν

ἀκακίαν αὐτῶν μιμεῖσθαι πάντως παρηξίωσεν, ἐκ τῆς ἐκτὸς μετουσίας τε, καὶ πράξεως ἐστὶν ὁρᾶν, ὅτι τὴν εὔνοιαν τὴν πρὸς αὐτὰ ἐπεδείξατο, ἐνηγκάλισε γὰρ αὐτὰ, καὶ τὰς χεῖρας αὐτοῖς ἐπέθετο, καὶ ηὐλόγησεν αὐτά· οὐκ ἄρα ἀμφισβητεῖτε, ἀλλὰ στερεῶς πιστεύετε, ὅτι παραπλήσιον παρὸν τὸ παιδίον εὐμενῶς ἀπεδέξατο, ὅτι ταῖς τῆς εὐγνωμοσύνης ἀγκάλαις περιεπτύξατο, ὅτι τὴν τῆς αἰωνίου ζωῆς εὐλογίαν αὐτῷ ἐδωρήσατο, καὶ μέτοχον ἐποίησε βασιλείας τῆς αἰωνίου. Τοιγάρτοι, οὕτως ἡμεῖς πεποιθότες περὶ τῆς τοῦ Πατρὸς ἡμῶν ἐπουρανίου πρὸς τουτὶ τὸ βρέφος φιλοφρονήσεως ὑπὸ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἐπαγορευθείσης, πιστῶς ἡμεῖς καὶ εὐσεβῶς εὐχαριστήσωμεν· καὶ τὴν εὐχὴν ἣν αὐτὸς ὁ Κύριος ἐδίδαξεν, ἀγορεύωμεν, καὶ πρὸς τὴν τῆς ἡμετέρας πίστεως ἔνδειξιν, τὰ κεφάλαια αὐτῆς, τὰ ἐν τῷ Συμβόλῳ περιεχόμενα ἀναπεμπάσωμεν.

¶ Ἐνταῦθα ὁ Διάκονος ξὺν τοῖς μεσεγγύοις ἐρεῖ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς. Καὶ τὰ ἑξῆς.

¶ "Τότε ὁ Ἱερεὺς ἐρωτήσει τὸ
" ὄνομα τοῦ παιδίου, ὅπερ ἡνίκα
" οἱ σύμπαντές τε καὶ συμμη-
" τέρες ἀπηγγείλαντο, ὁ Ἱερεὺς
" λέξει.

Σὺ δῆτα ἐν ὀνόματι τουτουὶ τοῦ παιδίου, ἀποτάττῃ τῷ διαβόλῳ τε καὶ πᾶσιν αὐτοῦ τοῖς ἔργοις, ματαίᾳ τῇ πομπῇ καὶ δόξῃ τουτουὶ τοῦ αἰῶνος, μετὰ τῶν πλεονεξιῶν αὐτοῦ, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις, ὥστε οὐ μὴ βούλεσθαι σεαυτὸν οὔτε ἀκόλουθον, οὔτε ἀγώγιμον αὐταῖς παρέχειν;

Ἀπόκρισις.

Ναὶ, πᾶσι τούτοις ἀποτάττομαι.

Διάκονος.

Σὺ ἐν ὀνόματι τουτουὶ τοῦ νηπίου ταύτην τὴν πίστιν ἐξαγορεύεις, δηλαδὴ, πιστεύειν εἰς Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ μονογενῆ, Κύριον ἡμῶν, συλληφθέντα ἐκ Πνεύματος Ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου, παθόντα, θανόντα, καὶ ταφέντα, κατελθόντα εἰς ᾅδου, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν, ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐκ δεξιῶν Θεοῦ Πατρὸς παντοκράτορος, ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς· καὶ ἐν ὀνόματι αὐτοῦ πιστεύεις· εἰς Πνεῦμα τὸ Ἅγιον, τὴν Ἁγίαν Ἐκκλησίαν καθολικὴν, Ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, καὶ μετὰ τὸν θάνατον ζωὴν αἰώνιον;

Ἀπόκρισις.

Πᾶσι τούτοις ἐμπέδως πιστεύω.

Διάκονος.

Δεηθῶμεν.

Παντοκράτωρ αἰώνιε Θεὸς, ὁ Πατὴρ ἡμῶν οὐράνιος, ἡμεῖς κατηφεῖ τὰ χαριστήρια σοι προσφέρομεν, ὅτι ηὐδόκησαί σοι καλέσαι τι ἡμᾶς πρὸς τὴν τῆς σῆς χάριτος ἐπίγνωσιν, καὶ πρὸς τὴν ἐπὶ σοὶ πεποίθησιν· αὔξησον ἡμῖν ταύτην τὴν ἐπιστήμην, ἐμπέδωσον ἡμῖν εἰσαεὶ ταύτην τὴν πίστιν, καὶ τούτῳ νηπίῳ τοῦ σοῦ Πνεύματος Ἁγίου μετάδος, ὥστε παλιγγεννηθέντα, καὶ κληρονόμον σωτηρίας τῆς

αἰωνίου

αἰώνιε διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ποιηθέντα, τὸ σὸν δοῦλον ὄντα παραμένειν, καὶ τῆς σῆς ὑποσχέσεως ἐπιτυχεῖν· δι' ἐκείνου τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὃς συζῇ, καὶ συμβασιλεύει σοὶ ἐν μονάδι τοῦ Πνεύματος Ἁγίου, εἷς Θεὸς, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ "Εἶτα ὁ Διάκονος τὴν ἑξῆς
"Παραίνεσιν πρὸς τοὺς συμ-
"πατέρας καὶ συμμητέρας ποι-
"ήσει..

Ὁπηνίκα τοῦτο τὸ παιδίον δι' ὑμῶν ὑπέσχηται τοῦ βδελύσσειν τὸν διάβολον, καὶ πάντα αὐτοῦ ἀπεργάσματα, πιστεύειν εἰς τὸν Θεὸν, καὶ λατρεύειν αὐτῷ· χρὴ ὑμᾶς διὰ μνήμης ἔχειν, ὅτι πρὸς ὑμῶν ἐστι προνενοημένων, ὅπως οὗτος ὁ νεοφυὴς παιδευθῇ, ὡς αὐτίκα οἷός τ' ἔσται μαθητεύεσθαι, ὅσην δημοτελῆ τὴν Εὐχωλὴν, Ἐπαγγελίαν τε καὶ Ἐξομολόγησιν δι' ὑμῶν ἐποιήσατο, ἵνα δὲ εὐκοπώτερον ἐπιγνοίη ἂν τοιαῦτα διανύσας, δεῖ ὑμᾶς παροτρύνειν αὐτὸν ἐπὶ τὸ ἀκροᾶσθαι Ὁμιλίας, ἄλλως τε καὶ ἐπιμελητέον ὑμῖν, ἵνα δυνηθῇ ἐπιχωρίῳ τῇ γλώσσῃ ἀποστοματεῖν κεφάλαια τῆς Πίστεως, Εὐχὴν τὴν Κυριακὴν, Δέκα τὰς Ἐντολὰς, καὶ τὰ λοιπὰ, ὅσα προσήκει ἀνθρώπῳ τῷ Χριστιανῷ πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν συνειδέναι τε καὶ πεποιθέναι· πρὸς τούτοις, ὥστε ἐκεῖνο τὸ παιδίον σπουδαίως τετράφθαι, πρὸς τὸ εὐσεβῆ καὶ Χριστιανὸν βίον διάγειν, ἀναμιμνήσκοντες, ὅτι ὁ Βαπτισμὸς ἡμῖν τὴν ἡμετέραν Ὁμολόγησιν ὑποτυποῖ, δηλαδὴ, ἐπακολουθεῖν τῷ τοῦ Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ παραδείγματι, καὶ ὁμοιωθῆναι αὐτῷ· ἐφ' ᾧ, καθάπερ οὗτος ὑπὲρ ἡμῶν ἀπέθανε, καὶ ἀνέστησεν, οὕτω δεῖν ἡμᾶς, ἤγουν βεβαπτισμένους τῇ ἁμαρτίᾳ ἀποτεθνηκέναι, καὶ εἰς δικαιοσύνην ἀναστῆναι, ἐξάγεις καὶ ἐφθορυίας τὰς ἐπιθυμίας διηνεκῶς νεκρώσαντας, καὶ ἐν ἁπάσῃ τῇ ἀρετῇ, καὶ τῇ τῆς ζωῆς εὐσεβείᾳ ἑκάστοτε ἐγκαρτερεῖν προκόπτοντας.

¶ "Ἐὰν δὴ οἱ τὰ βρέφη ἐπὶ τὸ
"Ἱερὸν εἰσηγημένοι, τὰ ἄδη-
"λα τῶν ἀποκειμάτων τοῖς τοῦ
"Ἱερέως ἐρωτήμασι ποιῶσιν,
"ὥστε οὐ μὴ τρανοῦσθαι, τὸ παιδίον
"βεβαπτισμένον εἶναι τῷ
"ὕδατι ἐν ὀνόματι τοῦ Πατρὸς,
"καὶ τοῦ Υἱοῦ, καὶ Πνεύματος
"Ἁγίου, ἅτε μὴ οὐσιώδη τυγ-
"χάνει ὄντα βαπτισμοῦ τὰ
"μέρη· εἶτα ὁ Ἱερεὺς κατὰ τύπον
"ἐν δημοσίῳ τῷ Βαπτίσματι
"προγεγραμμένον, Βαπτισάτω
"αὐτό· πλὴν ἐν τῷ κατα-
"δύειν τὸ βρέφος ἐπὶ τῷ
"βαπτιστηρίῳ, χρήσεται τῷ
"ἑξῆς ῥησειδίῳ.

Ἐὰν ἤδη οὐ μὴ Βαπτισθῇς Ν· ἐγὼ Βαπτίζω σε ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου.

¶ ΔΙΑ

¶ ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΕΠΙΚΥΡΩΣΕΩΣ

ἢ Ἐπιθέσεως χειρῶν ἐπὶ τοὺς παῖδας τοὺς Βεβαπτισμένους, καὶ λόγον τῆς Πίστεως κατὰ τὴν ἑξῆς Κατήχησιν ἀποδοῦναι δυναμένους.

“Ἐφ᾽ ᾧ ὁ ἐπιστηριγμὸς εἰς προὐργιαιτέραν τῶν ὑποδεχομένων οἰκοδομὴν ὑπηρετηθῇ (κατὰ τὴν τοῦ ἁγίου Παύλου διδαχήν, τοῦ κελεύοντος, ἵνα πάντα ἐν τῇ Ἐκκλησίᾳ γίνοιτο ἂν πρὸς τὴν αὐτῆς οἰκοδόμησιν) ἐγνωσμένον ἐστὶ τὸ ἀπὸ τοῦδε, μηδένα δεῖν προσδέχεσθαι εἰς τὴν Ἐπικύρωσιν, πλὴν τοὺς παρεσκευασμένους ἀπὸ τοῦ ἐγχωρίου τῇ γλώσσῃ τὰ ἄρθρα τῆς Πίστεως, Κυριακὴν Εὐχήν, καὶ Δέκα τὰς Ἐντολὰς ἀποστοματίσαι τε, καὶ ἀποκρῖναι τοῖς τῆς ἑξῆς συντόμου Κατηχήσεως ἐρωτήμασιν, οἷς ὁ Ἐπίσκοπος, ἢ παρ᾽ αὐτοῦ ὑποτιθεὶς, κατὰ τὸ δοκοῦν ἐξετάσει· καὶ μάλα, διὰ ποικίλας τὰς αἰτίας, αἳ ἥκει ταύτην τὴν τάξιν προσέτι παρατηρεῖσθαι.

“Πρῶτον μὲν, ἵνα παῖδες εἰς ἡλικίαν τῆς συνέσεως ἐληλακότες καὶ συμβιβασθέντες, ἅπερ καὶ ὅσα ὑπὲρ αὐτῶν οἱ σύμπατρές τε καὶ συμμητέρες ἐν τῷ Βαπτισμῷ προϋπέσχοντο, ἐνταῦθα παρόντες σφετέρῳ αὐτῶν στόματι, καὶ ἰδίᾳ τῇ συμφωνήσει ἐνώπιον τῆς Ἐκκλησίας δῆλοι εἶεν τοιαῦτα προσκυροῦντες, ἅμα καὶ ἐπαγγείλαντες ὅτι τῇ τοῦ Θεοῦ βοηθείᾳ, πᾶσαν τὴν σπουδὴν καὶ προθυμίαν ποιήσαιντο, περὶ τοῦ τὰ ὡμολογημένα πιστῶσαι, καὶ διαφυλάξαι.

“Δεύτερον δὲ, ἐπειδὰν ἡ στερέωσις τοῖς Βεβαπτισμένοις διακονηθῇ, ὥστε διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως τε, καὶ προσευχῆς, οἵους τε εἶναι τὴν ἰσχὺν καὶ ἄμυναν κατὰ τῶν τῆς ἁμαρτίας, κόσμου τε, καὶ διαβόλου ἐπιβολῶν τε καὶ πειρασμῶν ὑπειληφέναι· τηνικαῦτα πάνυ δίκαιόν ἐστι διακονεῖσθαι τὴν Ἐπικύρωσιν, ὅταν οἱ παῖδες εἰς ταύτην τὴν ἀκμὴν προβεβήκωσιν, ὥστε τότε διὰ τὰς τῆς σαρκὸς ἀσθενείας, τότε διὰ τὰς τοῦ κόσμου ἐνέδρας, εὐκαταφόρους πεφυκέναι ἐπὶ τὸ εἰς πολλαπλασίας τὰς ἁμαρτίας παραπίπτειν.

“Τρίτον δὲ, ὅτι τῷ τῆς πάλαι Ἐκκλησίας ἔθει οὐκ ἔστιν ἀλλότριον, ὑφ᾽ ἧς νενόμισται τὴν στερέωσιν τοῖς εἰς ἥβην ὁρμηθεῖσι διακονηθῆναι, ἐφ᾽ ᾧ, ἐν τῇ τοῦ Χριστοῦ θρησκείᾳ κατηχηθεῖσι, τὴν τῆς Πίστεως Ἐξομολόγησιν, καὶ θείῳ τῷ βουλήματι ὑπακοῆς τὴν ὑπόσχεσιν, δημοσίᾳ ποιήσασθαι. Ἀλλ᾽ ὅμως, ἵνα μή τις ἀπορήσειεν ἄν, εἰ ἄρα τι ἐλάττωμα συμβῇ τοῖς παιδίοις παρὰ τοῦ ἀναβάλλεσθαι αὐτῶν ἐπιστηριγμὸν, ἐκ θείου τοῦ λόγου ἐπ᾽ ἀληθείας ἐστὶν εἰδέναι τοὺς παῖδας ἅπαξ Βεβαπτισμένους ἅπαντα πρὸς σωτηρίαν ἀναγκαῖα ἀκαταδεῶς κομίσασθαι, καὶ ἀναμφισβητήτως διασωθῆναι.

¶ ΚΑΤΗΧΗΣΙΣ, ΗΤΟΙ ΣΥΜΒΙΒΑΣΙΣ

ἣν δεῖ ἕκαστον τὸν παῖδα μαθεῖν πρὶν εἰς τὸν Ἐπίσκοπον πρὸς τὸ Ἐπικυρῶσαι, προσδεχθῆναι.

Ἐρώτησις.

Τί ἐστί σοι τὸ ὄνομα;

Ἀπόκρισις.

Ὁ δεῖνα, ἢ ὁ δεῖνα.

Ἐρώτησις.

Τίς σοι τοῦτο ἐνέθετο τὸ ὄνομα;

Ἀπόκρισις.

Οἱ ἐμοῦ σύμπατρές τε, καὶ συμμητέρες ἐν τῷ ἐμοῦ Βαπτισμῷ, ἐν ᾧ, μέλος Χριστοῦ, τέκνον Θεοῦ, καὶ βασιλείας τῆς οὐρανίου κληρονόμος ἐγεννήθην.

Ἐρώτησις.

Τί δῆτα σύμπατρές τε καὶ συμμητέρες ὑπὲρ σοῦ τότε ἐπηγγείλαντο;

Ἀπόκρισις.

Ἐκεῖνοι τρία ἐν τῷ ἐμῷ ὀνόματι ὑπέσχοντο, καὶ ἠγγυῶντο· πρῶτον, ἵνα τῷ διαβόλῳ καὶ αὐτοῦ ταῖς ἐργασίαις, τῇ πονηρᾷ τοῦ κόσμου πομπῇ καὶ ματαιότητι, καὶ πάσῃ ἐναγεῖ τῇ ἐπιθυμίᾳ τῆς σαρκὸς ἀποτάξωμαι· ἔπειτα, ἵνα πάντα τῆς Χριστιανικῆς Πίστεως ἄρθρα πιστεύσω· τελευταῖον, ἵνα τῷ θελήματι καὶ τοῖς ἐντάλμασι τοῦ Θεοῦ ὑπακούσω, καὶ πάσας τὰς τῆς ζωῆς ἡμέρας ἐν αὐτοῖς περιπατήσω.

Ἐρώτησις.

Οὐκ οἴει οὖν δεδεμένος ὢν πιστεύειν τε, καὶ ἐργάζεσθαι ἅπερ ἐκεῖνοι ἐν τῷ σῷ ἐπηγγείλαντο ὀνόματι;

Ἀπόκρισις.

Ἔγωγε· καὶ δὴ καὶ οὕτω ποιήσω, τοῦ Θεοῦ βοηθοῦντος, εὐχαριστῶν ἐκ καρδίας τῷ Πατρὶ οὐρανίῳ, τῷ εἰς ταύτην ἐμὲ τὴν τῆς σωτηρίας χάριν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κεκληκότι· δέομαι δὲ τοῦ Θεοῦ χαρίζεσθαί μοι τὸ δύνασθαι ἐν αὐτῇ μέχρι τοῦ τέλους τῆς ζωῆς διαμένειν.

Ἐρώτησις.

Ἀποστομάτισον ἐμοὶ τὰ ἄρθρα τῆς Πίστεως.

Ἀπόκρισις.

Πιστεύω εἰς Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, Κύριον ἡμῶν, συλληφθέντα ἐκ Πνεύματος Ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου· παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα· κατελθόντα εἰς ᾅδου· τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν· ἀνελθόντα εἰς οὐρανούς, καθεζόμενον ἐκ δεξιῶν Θεοῦ Πατρὸς παντοκράτορος· ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύω εἰς Πνεῦμα τὸ Ἅγιον· Πιστεύω τὴν ἁγίαν Ἐκκλησίαν καθολικήν, Ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. Ἀμήν.

Ἐρώτησις.

Τί μάλιστα ἐκ τούτων μανθάνεις τῆς Πίστεως κεφαλαίων.

Ἀπόκρισις.

Ἀπόκρισις.

Πρῶτον καταμανθάνω πιστεύειν εἰς Θεὸν Πατέρα, τὸν ἐμὲ καὶ ὁλόκληρον τὸν κόσμον δημιουργήσαντα.

Εἶτα, εἰς Θεὸν τὸν Υἱὸν, τὸν ἐμὲ καὶ πᾶν τὸ γένος ἀνθρώπινον λυτρώσαντα.

Τέλος, εἰς Θεὸν Πνεῦμα τὸ Ἅγιον, τὸ ἐμὲ καὶ σύνολον τοῦ Θεοῦ ἐκλεκτὸν λαὸν ἁγιάζον.

Ἐρώτησις.

Ἄγε δή· ἔφης ἄρτι, τοὺς σοὺς σύμπαππας καὶ συμμητέρας τῷ σῷ ὑπεσχῆσθαι ὀνόματι, Θεοῦ τὰ προστάγματα φυλάξειν· λέγε ἄρα, πόσα ἐστί;

Ἀπόκρισις.

Δέκα.

Ἐρώτησις.

Τὰ ποῖα;

Ἀπόκρισις.

Ἃ ὁ Θεὸς ἐλάλησεν ἐν τῷ εἰκοστῷ τῆς Ἐξόδου· λέγων, ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐκ οἴκου δουλείας.

1. α. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι ἐνώπιόν μου.

2. β. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς, ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ἰσχυρὸς, ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, ποιήσας δὲ ἔλεον εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

γ. 3. Οὐ λήψῃ τὸ ὄνομα τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ, ὅτι οὐ καθαριεῖ ὁ Κύριος τὸν λαβόντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

δ. 4. Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν. Ἓξ ἡμέρας ἐργάζῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα Κυρίῳ τῷ Θεῷ σου ἐστί· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, καὶ ὁ παῖς σου, ἡ παιδίσκη σου, ὁ βοῦς καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνος, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί· ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τόν τε οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

ε. 5. Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς δίδωσί σοι.

ς. 6. Οὐ φονεύσεις.

ζ. 7. Οὐ μοιχεύσεις.

η. 8. Οὐ κλέψεις.

θ. 9. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

ι. 10. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Ἐρώτησις.

Τί ἐξαιρέτως ἐκ τούτων τῶν ἐντολῶν μανθάνεις;

Ἀπόκρισις.

Δύω· τὸ μὲν τῷ Θεῷ, τὸ δὲ τῷ πλησίον ὀφειλόμενον.

Ἐρώτησις.

Τί ὀφείλεις τῷ Θεῷ;

Ἀπόκρισις.

Ἐμὸν ἐστι πρὸς Θεὸν, τὸ πιστεύειν εἰς αὐτὸν, τὸ φοβεῖσθαι αὐτὸν, τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, ἐξ ὅλης διανοίας, ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης ἰσχύος, τὸ λατρεύειν αὐτῷ, τὸ εὐχαριστεῖν αὐτῷ, τὸ ἐπὶ αὐτῷ μόνῳ πείθεσθαι, τὸ αὐτὸν ἐπικαλεῖσθαί τε καὶ δοξάζειν, τὸ ἅγιον αὐτοῦ ὄνομα καὶ λόγον τιμᾷν, καὶ τὸ αὐτῷ δουλεύειν πάσας τῆς ζωῆς ἡμέρας.

Ἐρώτησις.

Τί δῆτα τὸ σὸν ἔργον ἐστὶ πρὸς τὸν πέλας;

Ἀπόκρισις.

Ἐμὸν ἐστι πρὸς τὸν πέλας, τὸ αὐτὸν ἀγαπᾷν καθὼς καὶ ἐμαυτὸν, καὶ οὕτω πᾶσιν ἀνθρώποις ποιεῖν, ὡς ἂν θέλοιμι ἵνα αὐτοὶ ποιῶσιν ἐμοί· τὸ στέργειν, τιμᾷν τε καὶ ἀντιλαβέσθαι πατρὸς καὶ μητέρος μου· τὸ τὴν τιμὴν καὶ ὑπακοὴν τῷ βασιλεῖ καὶ τοῖς αὐτοῦ διακόνοις ἀπονέμειν· τὸ ὑποταγῆναι τῷ ἐμοῦ ἄρχοντι, τοῖς διδακταῖς, τῷ ποιμένι τῷ πνευματικῷ, καὶ τῷ δεσπότῃ· τὸ σωφρόνως καὶ σεβασμίως πρὸς τοὺς πρεσβυτέρους τε, καὶ κρείττους διατίθεσθαι· τὸ μηδένα ἢ ἐν λόγῳ, ἢ ἐν ἔργῳ βλάπτειν· τὸ εἶναι πιστὸν καὶ δίκαιον ἐν πᾶσι πράγμασι· τὸ μηδένα μισεῖν, ἢ φθονεῖν· τὸ τὰς χεῖρας μου ἁρπαγῆς καὶ κλοπῆς, τὴν γλῶτταν δὲ τῆς κακουργίας, συκοφαντίας τε, καὶ λοιδορείας ἀπείργειν· τὸ σῶμά μου ἐν σωφροσύνῃ, νήψει, καὶ ἁγνείᾳ διαφυλάττειν· τὸ μὴ ἐπιθυμεῖν, ἢ ὀρέγεσθαι τῶν ἄλλοις προσηκόντων· ἀλλὰ μαθεῖν ἐκ τοῦ ἰδίου πόνου τὰ ἐπιτήδεια προσπορίζειν, καὶ τὸ καθῆκον ἐμὸν ποιεῖσθαι, ἐν ᾑτινιοῦν κλήσει, πρὸς ἣν ὁ Θεὸς ἀξιώσειεν ἂν ἐμὲ καλεῖσθαι.

Ἐρώτησις.

Τοῦτο γνῶθι φίλε παῖ, οὐχ οἷόν τ' εἶναί σε ἐκ τῆς σεαυτοῦ δυνάμεως ἄνευ τῆς ἰδίας τοῦ Θεοῦ χάριτος ταῦτα παρέχειν, ἤτοι πορεύεσθαι ἐν ταῖς τοῦ Θεοῦ ἐντολαῖς, καὶ λατρεύειν αὐτῷ· διὰ τοῦτο ἀδιαλείπτως πρὸς Θεὸν ὑπὲρ χάριτος εὔχεσθαι δεῖν. Τοιγαροῦν, διεξελθόντος σου προσευχὴν τὴν Κυριακὴν ἡδέως ἀκούσαιμι ἄν.

Ἀπόκρισις.

ΠΆτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐρώτησις.

Τί ἀξιοῖς παρὰ τοῦ Θεοῦ ἐν τῇ προσευχῇ ταύτῃ;

Ἀπόκρισις.

Ἀξιῶ τὸν οὐράνιον Πατέρα, τὸν πάντων ἀγαθῶν χορηγὸν ὄντα, χαρίζεσθαι ἔμοιγε, καὶ πᾶσιν ἀνθρώποις, τὸ αὐτῷ λατρεύειν τε, ὑπηρετεῖν τε, καὶ ὑπακούειν δύνασθαι· καὶ

εὔχομαι τῷ Θεῷ, διδόναι ἡμῖν πάντα πρὸς παρόντα βίον ἀναγκαῖα, ἐλεῆσαι ἡμᾶς, καὶ ἀφιέναι ἡμῖν τὰς ἁμαρτίας, καὶ ἡμῶν ἀντιλαβέσθαι, καὶ σώζειν ἐν πᾶσι τοῦ τε σώματος καὶ τῆς ψυχῆς κινδύνοις, ἐλευθερῶσαι ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ ἁμαρτίας, ἀπὸ τῶν πνευματικοῦ τοῦ πολεμίου ἐνεδρῶν, καὶ θανάτου αἰωνίου· ἐλπίζω δὲ αὐτὸν ἐξ ἀγαθότητος καὶ οἰκτιρμῶν αὐτοῦ, τοῦτο ἐπιτελέσειν· διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· διόπερ λέγω Ἀμήν. Τοῦτ' ἔστιν, οὕτω γενηθήτω.

Ἐρώτησις.

ΠΟσα Μυστήρια ὁ Χριστὸς ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ κατέστησε;

Δύω μόνον, ὡς καθόλου πρὸς τὴν σωτηρίαν ἀναγκαῖα, Βαπτισμὸν δήπου, καὶ Δεῖπνον τὸ Κυριακόν.

Ἐρώτησις.

Τί δὲ βούλεταί σοι ἡ ῥῆσις, τὸ Μυστήριον;

Ἀπόκρισις.

Ἐννοῶ τὸ ἐκτὸς καὶ ὁρατὸν τῆς ἔσω, καὶ πνευματικῆς χάριτος ἡμῖν δοθείσης σημεῖον, τὸ ὑπὸ τοῦ Χριστοῦ καταταχθέν, ὡς τὸ μέσον δι' οὗ ἐπιτυγχάνομεν αὐτῆς, καὶ ὡς παρακαταβολὴν ἐπὶ τὸ προστηρῖξαι ἡμῖν αὐτήν.

Ἐρώτησις.

Πόσα μέρη ἔνεστι τῷ Μυστηρίῳ;

Ἀπόκρισις.

Δύω· τὸ ἔξωθεν, καὶ προῦπτον σύμβολον· καὶ τὸ ἔσωθεν, καὶ θεόπνευστον χάρισμα.

Ἐρώτησις.

Τί δῆτα τὸ ἔξω καὶ εὐπρόσοπτον τὸ τεκμήριον, ἢ εἶδος ἐν τῷ Βαπτισμῷ;

Ἀπόκρισις.

Τὸ ὕδωρ· ὑφ' οὗ ὁ Βαπτισθεὶς ἐναποκέκλυσται, ἢ ἐρράντισται ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου.

Ἐρώτησις.

Τίς ἐστιν ἡ ἔσωθεν καὶ πνευματικὴ χάρις;

Ἀπόκρισις.

Ὁ θάνατος εἰς ἁμαρτίαν, καὶ ἀναβίωσις εἰς δικαιοσύνην· πεφυκότως γὰρ ἐν ἁμαρτίᾳ κυηθέντες, καὶ τῆς ὀργῆς υἱοὶ ὄντες, ἐντεῦθεν τέκνα χάριτος ἐγενόμεθα.

Ἐρώτησις.

Τί δὲ ἀπαιτεῖται ὑπὸ τῶν Βαπτισομένων;

Ἀπόκρισις.

Μετάνοια, παρ' ἧς τὴν ἀνομίαν ἀπολιμπάνουσι· καὶ Πίστις, παρ' ἧς τοῦ Θεοῦ ἐπαγγελίαις, ταῖς ἐν τούτῳ τῷ Μυστηρίῳ πεποιημέναις, στερρῶς πεποίθασιν.

Ἐρώτησις.

Πῶς οὖν νεογνὰ τὰ βρέφη (ἐπειδὴ δι' ἁπαλῆς τῆς νηπιότητος οὐχ οἷά τ' ἐστι ταῦτα διαπράττειν) ἐβαπτίσθη;

Ἀπόκρισις.

Πάνυγε· ταῦτα γὰρ τυγχάνει διανύσαντα παρὰ τῶν κατεγγυητῶν τὰ ἀμφοῖν ὑποσχομένων, καὶ ἐν ὀνόματι αὐτῶν εὐχομένων· ἃ ἐκ παίδων εἰς ἡλικίαν προβεβηκότες, ὑπόχρεω κατέχονται βεβαιοῦσθαι.

Ἐρώτησις.

Διὰ τί, Μυστήριον Δεῖπνον τοῦ Κυριακοῦ ἐγνωσμένον ἦν;

Ἀπόκρισις.

Πρὸς διηνεκῆ τῆς θυσίας θανάτου

τοῦ Χριστοῦ, καὶ εὐεργετημάτων, ὧν ἐντεῦθεν μετεσχηκότες ὦμεν, ἀνάμνησιν.

Ἐρώτησις.

Τί ἄρα ἐστὶ τὸ ἐκτὸς μέρος, ἢ σημεῖον Δείπνου τοῦ Κυριακοῦ;

Ἀπόκρισις.

Ἄρτος καὶ οἶνος, ἅπερ κατὰ τὴν τοῦ Κυρίου ἡμῶν διάταξιν ὑποδεχόμεθα.

Ἐρώτησις.

Τί δὲ τὸ ἔγκατον μέρος, ἢ τὸ σημαινόμενον;

Ἀπόκρισις.

Τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ, ἅπερ ὄντως καὶ ἀληθῶς ὑπὸ τῶν πιστῶν ἐν Δείπνῳ τῷ Κυριακῷ κεκόμισται καὶ παρείληπται.

Ἐρώτησις.

Τίνα ποτ' ἐστὶ τὰ ὠφελήματα, ὧν ἐνταῦθα μέτοχοι τυγχάνομεν ὄντες;

Ἀπόκρισις.

Ἐπιρρώννυσις καὶ ἀνάπαυλα ἡμετέρων τῶν ψυχῶν διὰ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, καθάπερ τὰ σώματα ἡμῶν μετὰ τοῦ ἄρτου καὶ οἴνου ἐστὶ τεθραμμένα.

Ἐρώτησις.

Τί δῆτα εἰσπράττονται οἱ πρὸς Κυριακὸν τὸ Δεῖπνον φοιτῶντες;

Ἀπόκρισις.

Τὸ δοκιμάζειν ἑαυτούς, εἰ ἄρα γε μετανοῶσι πλημμελημάτων τῶν παρῳχηκότων, προσθέμενοι τὸν καινὸν μετέπειτα διάγειν τὸν βίον· ἔχοντες πίστιν τὴν βιώσιμον εἰς τὸ ἔλεος τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ, μετὰ τῆς εὐχαριστικῆς θανάτου αὐτοῦ ἀειμνηστίας. Τελευταῖον δέ, πρὸς ἅπαντας τοὺς ἀνθρώπους ἐν τῇ ἀγάπῃ διακείμενοι.

¶ "Ὡς αὐτίκα τὰ παιδάρια τῇ
"ἰδίᾳ διαλέκτῳ δύναιτο ἂν
"ἀπὸ στόματος εἰπεῖν τὰ ἄρθρα
"τῆς Πίστεως, Κυριακὴν Εὐ-
"χήν, καὶ Δέκα τὰς Ἐντολάς·
"ἔτι δέ, ἀποκρῖναι οἵοις περ
"ἂν ἐρωτήμασι ταυτῆς συντό-
"μου τῆς Κατηχήσεως ὁ Ἐπί-
"σκοπος, ἢ ὁ ὑπ' αὐτοῦ δια-
"τεταγμένος, κατὰ τὴν δια-
"γνώμην ἀκριβώσῃ· εἶτα
"πρὸς τὸν Ἐπίσκοπον παρά τι-
"νος τῶν συμπατρῶν ἢ συμ-
"μητέρων συστηθήσεται, ἵνα
"παῖ καθ' ἕκαστον τὸ παιδάριον
"χρείη ἂν τῆς ἑαυτοῦ στερεώσεως
"τὸν μάρτυρα, καὶ ὁ Ἐπίσκοπος
"τόνδε τρόπον ἐπιστηρίξει.

¶ Η ΕΠΙΚΥΡΩΣΙΣ, Η ΕΠΙΘΕΣΙΣ ΤΩΝ ΧΕΙΡΩΝ.

Ἐπίσκοπος.

Η Βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου.

Ἀπόκρισις.

Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ἐπίσκοπος.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

Ἀπόκρισις.

Ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Ἐπίσκοπος.

Ἐπίσκοπος.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς σὲ ἐλθέτω.

Ἐπίσκοπος.

¶ Εὐχώμεθα.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὁ τούτους τοὺς δούλους σου δι' ὕδατος καὶ Πνεύματος Ἁγίου ἀναγεννῆσαι, καὶ αὐτοῖς τὴν ἁμαρτιῶν συγγνώμην ἔχειν, εὐδοκήσας· συνεπίσχυε αὐτοὺς, ἱκετεύομεν Κύριε, Πνεύματι Ἁγίῳ τῷ παρακλήτῳ, καὶ πολλαπλασίων τῆς σῆς χάριτος δωρημάτων ὁσημέραι αὐτοῖς ἐπίδος, καὶ πνεύματος αὐτοὺς τῆς σοφίας καὶ συνέσεως, τῆς τε βουλῆς καὶ ψυχικῆς ἀνδρείας, πνεύματος ἐπιγνώσεως καὶ ἀληθινῆς τῆς εὐσεβείας, πνεύματος ὁσίου τοῦ φόβου σου ἀναπίμπλασον Κύριε· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ "Τότε ὁ Ἐπίσκοπος ἑνὶ ἑκάστῳ τῶν παίδων κατὰ κεφαλὴν ἐπιθήσει τὴν χεῖρα, εἰπών.

Ἐπάμυνον, Κύριε, μετὰ τῆς σῆς χάριτος οὐρανίου τουτωὶ τῷ παιδὶ, ὥστε τὸ σὸν τέκνον διαμένειν, καὶ καθ' ἑκάστην ἐπὶ πλεῖον τὴν ἡμέραν ἐν τῷ σῷ Ἁγίῳ Πνεύματι προκόπτειν, μέχρι οὗ τῆς σῆς οὐρανίου βασιλείας ἀφίκηται. Ἀμήν.

¶ Εἶτα ὁ Ἐπίσκοπος ἐρεῖ.

Εὐχώμεθα.

ΠΑντοκράτωρ αἰώνιε Θεὸς, ὁ ποιήσας ἡμᾶς τὰ τῇ σῇ μεγαλειότητι ἀρέσκοντα καὶ εὐπρόσδεκτα ἐθέλειν τε καὶ πράττειν· ταπεινὰς τὰς ἱκετείας ἡμῶν σοι προσφέρομεν ὑπὲρ τούτων τῶν παίδων σου, ὧν, κατὰ τὸ τῶν σου ἁγίων Ἀποστόλων παράδειγμα, τὰς χεῖρας ἐπεθήκαμεν, πρὸς τὸ ἐπικυροῦν αὐτοῖς, τούτῳ τῷ σημείῳ, βεβηκυῖαν εἶναι τὴν σὴν εὐμένειαν καὶ χρηστότητα· ἡ πατρῴα χεὶρ σου αὐτῶν ὑπερασπισάτω· Πνεῦμά σου τὸ Ἅγιον διηνεκῶς ἐν τῇ τοῦ λόγου σου ἐπιγνώσει τε καὶ πεποιθήσει οὕτως ὁδηγησάτω, ὥστε τὸ τελευταῖον αἰωνίου ζωῆς ἐπιτυχεῖν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ συζῶντος καὶ συμβασιλεύοντός σοι, καὶ Πνεύματι Ἁγίῳ, ἑνὸς Θεοῦ, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ "Εἶτα ὁ Ἐπίσκοπος εὐλογήσει τοὺς παῖδας, ἐπιλέγων.

Ἡ Εὐλογία Θεοῦ τοῦ Παντοκράτορος, τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, ὑμῖν παρείη, καὶ ἀεὶ μεθ' ὑμῶν διαμείνῃ. Ἀμήν.

"Ὁ Κηδεμὼν μιᾶς ἑκάστης Παροικίας, ἤ τις οὖν ὑπ' αὐτοῦ κατασταθεὶς, Κυριακαῖς τε καὶ ἑορτασικαῖς ἡμέραις, πρὶν ἄρξασθαι δειλινῶν εὐχῶν ἥμισυ ἤτοι τῆς ὥρας, δημοσίᾳ τῷ νεῷ τοὺς παῖδας ὁπόσους ἐκεῖσε προσπεμφθέντας, ὡς δέον ἐστὶ, καὶ κατὰ καιρὸν, ἐν μιᾷ τινι ταύτης τῆς κατηχήσεως προσοχῇ λίαν ἀκριβῶς ἐξετάσει καὶ συμβιβάσει.

"Καὶ πάντες οἱ πατέρες τε, καὶ μητέρες, δέονται, καὶ δέον εἶναι τοὺς αὐτῶν παῖδας, θρέποντας,

“ παῖδας, θηλείας τε, ἄῤῥενάς τε, ἤγουν τοὺς οὐκ ἔτι τὴν Κατήχησιν μεμαθηκότας, παροτρυνοῦσι φοιτᾶν καιρῷ τεταγμένῳ εἰς τὸ Ἱερὸν πρὸς τὸ μαθητεύεσθαι καὶ νουθετεῖσθαι παρὰ τοῦ Κηδεμόνος, ἕως οὗ τὰ ὧδε προγεγραμμένα καταμάθοιεν ἄν.

“ Ἡνίκα δὲ ὁ Ἐπίσκοπος καταμηνύσει εἰς ὃν δεῖνα τόπον τὸν συμφέροντα ἀξιοῖ τὰ παιδία αὐτῷ προσενεχθῆναι. Εἶτα χρὴ τοὺς μιᾶς ἑκάστης Παροικίας Κηδεμόνας εἰσάγειν, ἢ δὲ χειρογραφῇ καταπέμπειν ὀνόματα τῶν παίδων τῶν δυναμένων τὰ ἄρθρα τῆς Πίστεως, τὴν Κυριακὴν Εὐχήν, καὶ Δέκα τὰς Ἐντολὰς διεξελθεῖν· καὶ πόσοι τινες αὐτῶν οἷοί τ' εἰσιν ἑτέροις τοῖς ἐρωτήμασι ταύτης τῆς Κατηχήσεως ἀποκρῖναι· καὶ ὁ Κηδεμὼν οὐδένα εἰς παναγίαν τὴν Σύναξιν ἐπεισδέξεται, πλὴν τοὺς ἀπὸ γλώσσης εἰπεῖν ταύτην τὴν Κατήχησιν παρεσκευασμένους, καὶ τοὺς ἐπικεκυρωμένους.

¶ ΤΥΠΟΣ ΤΗΣ ΤΟΥ ΓΑΜΟΥ ΤΕΛΕΤΗΣ.

“ Πρῶτον, δεῖ κατ' ἔθος τὰ Βάννα [προμνηστευτικὰ γράμματα] τρισὶ ταῖς Κυριακαῖς, ἢ ἑορτασιμαῖς ἡμέραις, ἐν τῷ τῆς θείας Λειτουργίας καιρῷ, τοῦ λαοῦ μεταξὺ παρόντος δημοσιεύεσθαι.

“ Ἢν δὲ οἱ μελλόνυμφοι ἀλλοίαις Παροικίαις ἐνοικήσειεν, εἶτα χρὴ τὰ Βάννα ἑκατέρᾳ τῇ Παροικίᾳ ἀνακηρυχθῆναι, οὐδὲ ὁ Κηδεμὼν μιᾶς τῆς Παροικίας τολμώη ἂν τελεῖν τὸν γάμον, πρὶν κομίσασθαι γραφὴν ἀπὸ Κηδεμόνος τῆς θατέρας Παροικίας, δηλοποιήσαντος ὅτι τρὶς τὰ Βάννα ἐκεῖ δημοσιεύεται.

“ Ἐν ἡμέρᾳ τοῦ γάμου ἐπιτελεῖν, οἱ μελλόγαμοι εἰς μέσον τοῦ ναοῦ μετὰ φίλων καὶ τῶν πέλας ἐλεύσονται· κἀκεῖθεν ὁ Ἱερεὺς τὰ ἑξῆς ἀγορεύσει.

Ἐνθάδε (κεχαρισμένως ἀγαπητοί) ἔμπροσθεν τοῦ Θεοῦ, καὶ ἐνώπιον τουτουῒ τοῦ Ὁμίλου συνεληλύθαμεν, ἐπὶ τῷ συζευγνύναι τουτονὶ τὸν ἄνδρα καὶ ταύτην τὴν γυναῖκα ἐν ἁγίῳ τῷ γάμῳ, ὃ ἔντιμόν ἐστι τοῦ ζῆν εἶδος, ὑπὸ τοῦ Θεοῦ ἐν τῷ τῆς ἀνθρωπείας ἀκακίας καιρῷ εἰς τὸν Παράδεισον ηὐτρεπισμένον, μυστηριώδη τὴν ἑνότητα τοῦ Χριστοῦ, καὶ αὐτοῦ Ἐκκλησίας ἠνιγμένον· ὅντινα αὐτὸς κατάστασιν τῇ σφετέρᾳ αὐτοῦ παρουσίᾳ, καὶ πρώτῳ τῶν θαυμάτων, ᾧ ἐν Κανᾷ τῆς Γαλιλαίας κατηργάσατο, ἐτίμησε καὶ κατηύγασε, καὶ

παρα

παρὰ τοῦ ἁγίου Παύλου τίμιον εἶναι ἐν πᾶσιν αἰνεῖται. Οὐκ ἄρα ἀναιρητέον ἡμῖν, ἢ ἐγχειρητέον αὐτὸν εἰκῇ ἀνοήτως, ἢ ἀσελγῶς, ὡς φέρεται τὰ ἄλογα τῶν ζώων, πρὸς τὸ τὰς ἐπιθυμίας καὶ ὀρέξεις ἀνθρωπίνας ἀνακορέννυσθαι, ἀλλ' αἰδεσίμως, συνεχόντως, πιστῶς, σωφρόνως, μετὰ τῆς τοῦ Θεοῦ εὐλαβείας, ἐνθυμουμένοις ὧν ἕνεκεν ὁ γάμος τὸ κατ' ἀρχὰς ἐνενόμιστο· πρῶτον, ἐπὶ τὸ πρὸς αἴνεσιν τοῦ Θεοῦ ἐν φόβῳ καὶ παιδείᾳ Κυρίου τεκνοποιῆσαί τε καὶ τεκνοτροφῆσαι. Εἶτα, ὁ γάμος διετέτακτο, ὡς ἀλεξιτήριόν τι κατὰ τῆς ἁμαρτίας ἐπὶ τὸ τὴν πορνείαν διαδιδράσκειν, ἵνα οἱ μὴ τὸ τῆς ἐγκρατείας χάρισμα παρειληφότες γαμήσωσι, ἑαυτοὺς ἄσπιλα τὰ μέλη σώματος τοῦ Χριστοῦ διατετηρηκότες· καὶ τέλος, πρὸς τὸ ἀπολαύειν τῆς ἐπικουρείας, βοηθείας τε καὶ παραμυθίας, ἧς εἰκός ἐστιν συνημερεύοντάς τε, καὶ κακοπραγοῦντας ἀλλήλοιν ἔχειν. Εἰς ἥντινα ἁγίαν τὴν κατάστασιν διπλῶ τὼ παρόντε συνδυάζεσθαι εἰσεληλύθατον. Τοιγαροῦν, εἴ τις ἐξ ὑμῶν ἔνδικον τὸν λόγον ἀποδεῖξαι δύναιτο ἂν, οὐ μὴ θεμιτόν ἐστιν αὐτοὺς συναρμόττεσθαι, νυνὶ ἐξαγορευέτω, ἢ παντὶ πάντως εἰς τοὐπιὸν σιωπάτω.

¶ Εἶτα, τάδε ἐξῆς πρὸς τὼ γαμησείοντε ἐρεῖ.

Πυνθάνομαι, καὶ παραγγέλλω σφῶν ἀμφοῖν, ὡς ποτ' ἂν μέλλετον ἐν φρικτῇ τῇ τῆς κρίσεως ἡμέρᾳ ἀποκρῖναι, ὅταν τὰ ἀπόρρητα πασῶν καρδιῶν ἀνακαλύψεται· ἐὰν ἑκάτερος σφῶν ἑαυτῷ συνοιδέ τι ἐμπόδιον, δι' ὃ μὴ δυνηθῇ κατὰ θεσμοὺς ἐν τῷ γάμῳ ὁμοζυγνῦσθαι, ὥστε ὁμολογεῖσθαι αὐτό· πεπεῖσθον γὰρ ὅτι οἱ ἄλλως συνηρμοσμένοι, ἢ ὡς ἂν ὁ λόγος τοῦ Θεοῦ δοκιμάσειε, οὐδαμῶς παρὰ Θεοῦ τυγχάνουσι συνδεδεμένοι, οὐδὲ ὁ γάμος αὐτῶν θεμιτός ἐστι.

¶ “Ἐν ἡ τῶν νυμφείων ἡμέρᾳ
“ἐάν τις ἐπεισιοῦσι καὶ παραγγέλ-
“λει τι κωλύματος, οὗ μὴ θέμις
“ἐστὶν, ἤτοι κατὰ νόμιμα Θεοῦ, ἢ δὲ κατὰ
“Βασιλείας θεσμοὺς ἀλλήλοις
“συνδυάζεσθαι, καὶ προσέτι συγ-
“γραφαῖς ἐγγυᾶται, ἢ ἐνεχυ-
“ράζεται τὰ δεδαπανημένα γα-
“μησειόντων ἀποδοῦναι πρὸς
“τὸ καταφανὲς ποιῆσαι τὸ ἔγ-
“κλημα· τότε ἀποβλητέον ἐστὶ
“τὴν ἀποτελείωσιν τοῦ γάμου,
“μέχρι οὗ ἡ ἀλήθεια ἐξετασθῇ·
“ἐὰν δὲ μηδὲν ἐπάγηται ἐμ-
“πόδιον, τότε ὁ Κηδεμὼν τῷ
“ἀνδρὶ ὡς ἔπειτα ἐρεῖ.

N. Θέλεις ἔχειν ταύτην τὴν γυναῖκα εἰς τὴν σὴν μνηστὴν, ἐπὶ τὸ συζῆν, κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα, ἐν ἁγίᾳ τῇ τάξει τοῦ γάμου; θέλεις αὐτὴν ἀγαπᾷν, ἐν νόσῳ καὶ ὑγείᾳ, παραμυθεῖν, τιμᾷν τε καὶ τηρεῖν, καὶ πάσας τὰς ἄλλας καταλιμπάνων, θέλεις αὐτῇ, ἕως οὗ ἀμφότεροι σφὼ ζῆσετον, προσκολλᾶσθαι;

¶ Ὁ ἀνὴρ ἀποκρινεῖται.

Θέλω.

¶ Εἶτα Ἱερεὺς προσφωνήσει τὴν γυναῖκα.

N. Θέλεις ἔχειν τοῦτον τὸν ἄνδρα εἰς τὸν σὸν μνηστὸν, ἐπὶ τὸ συζῆν, κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα, ἐν ἁγίᾳ τῇ τάξει τοῦ γάμου; θέλεις αὐτῷ πειθαρχεῖν, καὶ ὑπηρετεῖν, ἐν νόσῳ

κ) ὑγιείᾳ· θέλεις αὐτὸν ἀγαπᾷν, τιμᾷν τε κ) τηρεῖν, κ) πάντας τοὺς ἄλλους καταλιμπάνουσα, θέλξις αὐτῷ, ἕως ἂν ἀμφότεροι σφῷ ζῆσετον, προσκολλᾶσθαι;

¶ Ἡ γυνὴ ἀποκρινεῖται.

Θέλω.

¶ Εἶτα λέξει ὁ Διάκονος.

Τίς ὁ ἐκδιδοὺς ταύτην τὴν γυναῖκα τουτῳὶ τῷ ἀνδρὶ συζευγνύναι;

¶ " Καὶ ὁ Διάκονος ἀποδεξάμενος τὴν γυναῖκα ἀπὸ χειρῶν τοῦ πατρὸς ἑαυτῆς, ἢ ἄλλου τινὸς τῶν φίλων, νουθετήσει τὸν ἄνδρα δεξιᾶς λαβεῖν τὴν γυναῖκα, κ) ἀλλήλοις ἐναλλὰξ τὴν αὐτῶν πίστιν ἐγγυᾷν, ἀνδρὸς πρῶτον, ὡς ἔπειτα, λέξαντος.

Ἐγὼ Ν. λαμβάνω σε Ν. τὴν ἐμοὶ γαμετὴν γυναῖκα τοαποτοῦδε εἰς ἐπι, εἰς κρείσσω, εἰς ἥσσω, εἰς εὐπορωτέραν, εἰς ἀπορωτέραν, ἐν ἀῤῥωστίᾳ κ) ὑγιείᾳ, εἰς τὸ ἔχειν κ) τηρεῖν, εἰς τὸ ἀγαπᾷν κ) θάλπειν, μέχρι ἂν χωρίσῃ ἡμᾶς ὁ θάνατος, κατὰ τὸ ἅγιον τοῦ Θεοῦ πρόσταγμα, κ) πρὸς ταῦτα τὴν πίστιν ἐμὴν ἐγγυῶ.

¶ " Εἶτα διαλύσουσι τὰς χεῖρας, " κ) γυνὴ λαβοῦσα δεξιᾶς τὸν " ἄνδρα, λέξει.

Ἐγὼ Ν. λαμβάνω σε Ν. τὸν ἐμοὶ γαμέτην ἄνδρα τοαποτοῦδε εἰς ἐπι, εἰς κρείσσω, εἰς ἥσσω, εἰς εὐπορώτερον, εἰς ἀπορώτερον, ἐν ἀῤῥωστίᾳ κ) ὑγιείᾳ, εἰς τὸ ἔχειν κ) τηρεῖν, εἰς τὸ ἀγαπᾷν κ) θάλπειν, μέχρι ἂν χωρίσῃ ἡμᾶς ὁ θάνατος, κατὰ τὸ ἅγιον τοῦ Θεοῦ πρόσταγμα, κ) πρὸς ταῦτα τὴν ἐμὴν πίστιν ἐγγυῶ.

¶ " Τότε διαλύσουσι τὼ χεῖρε, " κ) ὁ ἀνὴρ δώσει τῇ γυναικὶ " δακτύλιον, ἐπιθεὶς αὐτὸ τῇ " βίβλῳ, μετὰ τῶν ὀφλημάτων " τοῦ Ἱερέως, κ) ναοκόρῳ εἰθισμένων. Ἱερεὺς δὲ λαβὼν " τὸν δακτύλιον, ἀναδώσει τῷ " ἀνδρὶ, ὥστε πθέναι ἐπὶ τῷ " τετάρτῳ τῆς ἀριστερᾶς δακτύλῳ " κ) ὁ ἀνὴρ ὑπὸ τοῦ Ἱερέως " συμβιβασθεὶς, ἐρεῖ.

Τούτῳ τῷ δακτυλίῳ γαμῶ σε, σώματι τῷ ἐμῷ σέβομαί σε, κ) πᾶσι τοῖς ὑπάρχουσί μου ἐνδύω σε· ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, κ) Πνεύματος Ἁγίου. Ἀμήν.

¶ " Ἡνίκα ὁ ἀνὴρ ἀφίῃ τὸν δακτύλιον ἐπὶ τετάρτῳ τῆς ἀριστερᾶς γυναικὸς, ὁ Διάκονος ἐρεῖ.

Δεηθῶμεν.

Ἀΐδιε Θεὸς, ὁ συνόλου τοῦ γένους ἀνθρωπείου δημιουργός τε κ) σωτὴρ ὑπάρχων, ὁ πάσης πνευματικῆς τῆς χάριτος δοτὴρ κ) χορηγὸς ὢν, πρόσπεμψον τὴν σὴν εὐλογίαν τοῖς δούλοις σου, τουτῳὶ τῷ ἀνδρὶ, κ) ταύτῃ τῇ γυναικὶ, οἷς ἐν ὀνόματί σου εὐλογοῦμεν· ὅπως, καθάπερ ὁ Ἰσαὰκ κ) Ῥεβέκκα μάλα πιστῶς συνῴκησαν, οὕτω κ) τὼ παρόντε δήπου πιστῶς, οἷοι τε εἶναι διαφυλάξαι κ) πιστῶς τὴν εὐχωλὴν κ) συνθήκην τὴν ἀλλήλοις πεποιημένην (ἧς δήπου οὗτος ὁ δακτύλιος μεταδοθεὶς κ) ὑποληφθεὶς, σύμβολόν ἐστι κ) ἐχέγγυον) ἐντελεῖ τῆς ἀγάπης κ) εἰρήνης συνδέσμῳ προσκαρτερήσωσι

φυτῆ καθ᾽ ἅμα τῷ παραγγέλματί σου, τὸν λοιπὸν τὸν βίον ἡδυνηθῶσι διαπερᾶν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Τότε Ἱερεὺς συζευγνύσει ἀλλήλοις δεξιὰς αὐτῶν, εἰπών.

Οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

¶ Τότε ὁ Διάκονος τῷ λαῷ προσαγορεύσει.

Ἐπειδὴ Ν. καὶ Ν. ἐν ἁγίῳ τῷ γάμῳ ὁμονόησαν, καὶ ἐνώπιον τοῦ Θεοῦ καὶ παρόντος ὁμίλου τοῦτο ὁμολόγησαν, καὶ μέντοιγε τὴν ἑαυτῶν πίστιν, διὰ τοῦ διδόναι τε καὶ εἰληφέναι τὸ δακτύλιον, ἅμα καὶ διὰ τοῦ συζευγνύναι τὰς χεῖρας ἑκατέρωθεν, παρέδωκαν, καὶ μετηγγύησαν· ἀπαγγέλλω συνοίκους εἶναι καὶ συγκοίτους· ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου. Ἀμήν.

¶ Καὶ Διάκονος ταύτην τὴν εὐλογίαν προσθήσει.

Θεὸς ὁ Πατὴρ, Θεὸς ὁ Υἱὸς, Θεὸς Πνεῦμα τὸ Ἅγιον εὐλογείτω, σκεπασάτω, καὶ σωσάτω σφᾶς. ὁ Κύριος μετὰ τῆς εὐδοκίας ἐπιβλεψάτω σφᾶς, καὶ οὕτω πάσης πνευματικῆς εὐδαιμονίας καὶ χάριτος πληρωσάτω σφᾶς, ἐφ᾽ ᾧ οὕτως ἐν τῷ παρόντι συνοικήσητον. ὅπως ἐν αἰῶνι τῷ μέλλοντι ζωῆς τῆς ἀϊδίου ἀπολαύητον. Ἀμήν.

¶ « Τούτων διαπεπραγμένων, ὁ « Διάκονος, ἢ Κληρικοὶ, εἰς « Κυριακὴν τὴν τράπεζαν « προσιόντες, τὸ ἑξῆς ψαλμὸν « λέξουσιν, ἢ ᾄσουσι.

Ψαλ. ρκη. 128.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου.

Ἰδοὺ, οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Εὐλογήσει σε Κύριος ἐκ Σιών. καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Δόξα πατρί·
Ὡς ἦν ἐν ἀρχῇ. } Καὶ τὰ λοιπά.

¶ Ἢ ὁ Ψαλμὸς. ξζ. 67.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν.

Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα Πατρί } Καὶ τὰ λοιπά.
Ὡς ἦν ἐν ἀρχῇ. }

¶ « Ὅταν λήξαιτο ὁ Ψαλμὸς, « τοῦ ἀνδρὸς καὶ γυναικὸς « ἀπέναντι Κυριακῆς τῆς τραπέζης γονυπετούντων, ὁ Ἱερεὺς « ἐκεῖ παρεστὼς, καὶ στραφεὶς τὸ πρόσωπον εἰς αὐτοὺς, « ἐρεῖ.

Κύριε ἐλέησον.

Ἀπόκρισις.

Χριστὲ ἐλέησον.

Διάκονος.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀπόκρισις.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Διάκονος.

Σῶσον, Κύριε, τὸν παῖδά σου, καὶ τὴν παιδίσκην σου.

Ἀπόκρισις.

Τοὺς ἐλπίσαντας ἐπὶ σοί.

Διάκονος.

Ἐξαποστείλαις αὐτοῖς βοήθειαν ἐξ Ἁγίου.

Ἀπόκρισις.

Καὶ αὐτῶν ἀεὶ ὑπερασπίσαις.

Διάκονος.

Γίνου αὐτοῖς πύργος τῆς ἰσχύος.

Ἀπόκρισις.

Ἀπὸ προσώπου τοῦ ἐχθροῦ αὐτῶν.

Διάκονος.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς σὲ ἐλθέτω.

Διάκονος.

Ὁ Θεὸς τοῦ Ἀβραὰμ, Θεὸς τοῦ Ἰσαὰκ, Θεὸς τοῦ Ἰακὼβ, εὐλόγησον τούτους τοὺς δούλους σου, καὶ τῆς αἰωνίου ζωῆς πρόξενον εἰς τὰς αὐτῶν καρδίας σπεῖρον, ὡς ἅπερ ἐξ ἁγίου τοῦ λόγου σου αὐτοῖς συμφέροντα καταμάθοιεν ἂν, τῷ ἔργῳ ἀναπληροῦν. Ἐλεήμως εἰς αὐτοὺς ἀπόβλεψον ἐκ τοῦ οὐρανοῦ, καὶ εὐλόγησον αὐτούς· καὶ δὴ καὶ ὥσπερ τὴν σὴν εὐλογίαν ἐπὶ τὸν Ἀβραὰμ, καὶ τὴν Σάῤῥαν, εἰς μεγάλην αὐτῶν παραμυθίαν ἐξαπέστειλας· οὕτω καὶ οὐκ ἀπαξίωσον ἐπὶ τούτους τοὺς θεράποντάς σου τὴν σὴν εὐλογίαν καταπέμψαι, ἐφ' ᾧ, θελήματι σου πειθαρχοῦντας, καὶ τῷ σῷ ὑπερασπισμῷ ἀσφαλισθέντας, ἐν τῇ σῇ ἀγάπῃ μέχρι τοῦ ἀπαλλαγῆναι τοῦ βίου, διατελῶσι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ « Ἡ ἑξῆς εὐχὴ παραλειφθήσεται, ὁπόταν ἡ γυνὴ παρὰ « παιδοτόκος ἀναφανείη ἄν.

Ἵλεως Κύριε, Πάτερ οὐράνιε, οὗ τῇ ἐκ φιλοδωρείας δεῖ τὸ γένος ἀνθρώπειον ἐπαυξάνειν, τῇ σῇ εὐλογίᾳ τούτοιν τοῖν ἀρτιγάμοιν παρείστανε, ὥστε ἐν τῇ τεκνογονίᾳ εὐκάρπῳ ὄντε, ἐν θεοσεβεῖ τῇ ἀγάπῃ τηλικοῦτον τὸν χρόνον συνοίκω παραμένειν, ἕως οὗ δῆλοι ἔσονται ἰδόντες ἑαυτῶν τοὺς παίδων παῖδας, εἰς τρίτην, καὶ τετάρτην γενεὰν, πρὸς τὴν σὴν τιμὴν, καὶ δόξαν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ὁ Θεὸς, ὁ τὸ πᾶν ἐξ οὐδενὸς κραταιῷ τῇ σῇ δυνάμει δημιουργήσας,

γήσας, ὁ καὶ τῶν ἄλλων κτισμάτων διατεταγμένων προειλημμένος, ἵνα ἡ γυνὴ, ἐκ τοῦ ἀνδρὸς, τοῦ κατὰ τὴν σὴν ὁμοιότητα καὶ τύπον ἀπεικασμένου, τὴν προτοπλασίαν δέξηται, συναρμόττειν δὲ αὐτοὺς ἐνδείξας ὅτι οὓς σὺ διὰ γάμου ἑνοῖς, οὐδέποτε θεμιτὸν εἶναι κεχωρίσθαι. Θεὸς, ὁ γαμήλιον τὴν συνδεσιν εἰς τοσοῦτο καθ᾽ ὑπερβολὴν διαφέρον τὸ μυστήριον ἀφιερώσας, ὥστε δηλονότι πνευματικὸν τὸν γάμον τοῦ Χριστοῦ, καὶ τῆς ἑαυτοῦ Ἐκκλησίας ἀντίτεσθαί τε καὶ ὑποτυποῦσθαι· ἵλεως πρόσιδε εἰς τούτω τὼ οἰκέτα σου, ὥστε τόνδε τὸν ἄνδρα, κατὰ τὰ λόγιά σου, ταύτην τὴν ἰδίαν ἑαυτοῦ γυναῖκα στέργειν τε καὶ προσφιλεῖν, καθὼς καὶ ὁ Χριστὸς τὴν αὐτοῦ μνηστὴν Ἐκκλησίαν ἠγαπήσατο, ἑαυτὸν ὑπὲρ αὐτῆς παραδιδοὺς, ἀγαπῶν καὶ καταθάλπων αὐτὴν ὡς ἰδίαν σάρκα· ἅμα δὲ καὶ ὥστε ταύτην τὴν γυναῖκα φιλέραστιν γενέσθαι ὡς Ῥαχὴλ, πιστὴν ὡς Ῥεβέκκα, πιστὴν καὶ εὐπειθῆ ὡς Σάρρα, ἔτι δὲ ἐν ἁπάσῃ τῇ ἡσυχίᾳ, σωφροσύνῃ, καὶ εἰρήνῃ, πασῶν ἁγίων τε καὶ εὐσεβῶν οἰκοδεσποινῶν μιμητὴν ἔχειν. Εὐλόγει, Κύριε, ἀμφοῖν αὐτοῖν, καὶ δὸς αὐτοῖν τῆς σῆς αἰωνίου βασιλείας κληρονομήσειν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Τότε λέξει Ἱερεύς.

ΠΑντοκράτωρ, ὁ τοὺς κατάρχας προτογονεῖς ἡμῶν τὸν Ἀδὰμ καὶ τὴν Εὔαν δημιουργήσας τε καὶ ἁγιάσας, ἅμα καὶ ζυγάδην ἐν τῷ γάμῳ συνάψας, ἁγιαζέτω καὶ εὐλογείτω σφῶ, ἵνα σῶμα καὶ νοῦν πρὸς αὐτὸν εὐαρεστούντως ἔχητον, καὶ μετὰ τῆς ἁγίας ἀγάπης μέχρι τέλους τοῦ νῦν βίου συζήσητον. Ἀμήν.

¶ "Εἶτα πανάγια ἡ Σύναξις "ἄρξεται, καὶ μετὰ τὴν τοῦ Εὐ-"αγγελίου περικοπὴν, ἡ Ὁμι-"λία δημηγορηθήσεται, ἐν ᾗ "(ὁσάκις ἂν τελοῖτο ὁ γάμος) "τὸ τοῦ ἀνδρὸς καὶ γυναικὸς "καθῆκον καθ᾽ ἁγίαν τὴν "γραφὴν ὑποφητευθήσεται· "πλὴν εἰ μὴ ἡ Ὁμιλία ποιη-"θῇ, ὁ Διάκονος τὰ ἑξῆς "ἀναγνώσεται.

ΟΣοι γὰρ ἐν ὑμῖν ἤδη γεγαμημένοι, ἤτοι γαμησείοντες τυγχάνητε, ταύτην τὴν ὁσίαν κατάστασιν ὑπολήψεως προῃρημένοι, ἐνωτίσατε ἃ πανάγια ἡ γραφὴ, περὶ τοῦ καθήκοντος ἀνδρῶν εἰς ἑαυτῶν γυναῖκας, καὶ γυναικῶν κατὰ τοὺς ἄνδρας, λαλεῖ.

Ὁ ἅγιος Παῦλος ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ, κεφαλαίῳ πέμπτῳ, οὕτως ἔφασκεν. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς· ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλὰ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ. Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει, καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Κύριος τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν

τοῦ σώματος αὐτοῦ ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· Ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν· πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν.

Παραπλήσιον ὡσαύτως ἅγιος ὁ Παῦλος πρὸς Κολοσσαεῖς γεγραμμένος, οὕτως ἀγορεύεται. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Εἰσακούσατε δὲ ὧν ὁ ἅγιος Πέτρος, καὶ αὐτὸς γαμέτης ὤν, τοῖς γεγαμημένοις εἶπεν. Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς συγκληρονόμοι χάριτος ζωῆς εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

Μέχρι τοῦδε ἠκροάσθε τοῦ καθήκοντος μόνον ἀνδρὸς καθ᾽ ἑαυτοῦ γυναῖκα. Πρὸς τούτοις, ὦ γυναῖκες, ἐπακούετε καὶ μανθάνετε τὸ καθῆκον πρὸς σφετέρους ὑμῶν ἄνδρας, καθάπερ διαρρήδην ἐν ἁγίᾳ τῇ γραφῇ ὑποτυποῦται.

Ὁ ἅγιος Παῦλος, ἐν προειρημένῃ τῇ ἐπιστολῇ πρὸς Ἐφεσίους, οὕτως ὑμᾶς νουθετεῖ. Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ· ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας· καὶ αὐτός ἐστι Σωτὴρ τοῦ σώματος. Ἀλλ᾽ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Καὶ πάλιν λέγει· Ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. Ἔτι δέ, ἐν Ἐπιστολῇ πρὸς Κολοσσαεῖς ὁ ἅγιος Παῦλος ταύτην τὴν σύντομον διδασκαλίαν ὑμῖν παρέσχετο. Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν, ἐν Κυρίῳ. Ὁ ἅγιος Πέτρος συμβιβάσει ὑμᾶς μάλα εὐσεβῶς τόνδε τρόπον. Αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται· ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τῶν τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος· ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές· οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν, ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

¶ " Οἱ νεόγαμοι ταυθήμερον ὀφείλουσι τῆς Συνάξεως μεταλαμβάνειν.

Η ΤΑΞΙΣ

Η ΤΑΞΙΣ ΕΠΙΣΚΕΨΕΩΣ ΤΩΝ ΚΑΜΝΟΝΤΩΝ.

¶ « Ὁ Ἱερεὺς εἰς τὴν οἰκίαν « τοῦ νοσοῦντος εἰσιὼν, ἐρεῖ.

Εἰρήνη τούτῳ τῷ οἴκῳ, καὶ πᾶσιν ἐκεῖ κατοικοῦσι.

¶ « Ἡνίκα τῷ ἀσθενοῦντι προσάγ- « γίνηται, γονυπετῶν λέξει.

Μὴ ἀναμνησθῇς, Κύριε, τῶν ἀδικιῶν ἡμῶν, ἢ τῶν προγόνων· φεῖσαι ἡμῶν, Κύριε· φεῖσαι τοῦ λαοῦ σου, ὃν ἐλύτρωσας τιμιωτάτῳ τῷ αἵματί σου, καὶ μὴ ὀργίλως ἔχε πρὸς ἡμᾶς εἰς τοὺς αἰῶνας.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Διάκονος.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀπόκρισις.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Διάκονος.

Σῶσον Κύριε τοῦτον τὸν παῖδά σου.

Ἀπόκρισις.

Τὸν ἐλπίζοντα ἐπὶ σέ.

Διάκονος.

Ἐξαποστείλαις, Κύριε, βοήθειαν ἐξ Ἁγίου.

Ἀπόκρισις.

Καὶ ἀεὶ ὑπερασπίσῃς αὐτῷ.

Διάκονος.

Οὐδὲν κατισχύσει ὁ ἐχθρὸς αὐτοῦ.

Ἀπόκρισις.

Καὶ υἱὸς ἀδικίας μὴ βλάψῃ αὐτόν.

Διάκονος.

Γίνου αὐτῷ, Κύριε, πύργος τῆς ἰσχύος.

Ἀπόκρισις.

Ἀπὸ προσώπου τοῦ ἐχθροῦ.

Διάκονος.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ κραυγὴ ἡμῶν πρὸς σὲ ἐλθέτω.

Διάκονος.

Δεηθῶμεν.

Πρόσκυψον, Κύριε, ἀπὸ τῶν οὐρανῶν, ἔπιδε, ἐπίσκεψον, καὶ βοήθησον τούτῳ τῷ δούλῳ σου· ἐπίβλεπε αὐτὸν τοῖς τῶν οἰκτιρμῶν σου ὀφθαλμοῖς, δὸς αὐτῷ παράκλησιν, καὶ βεβαίαν τὴν πεποίθησιν ἐπὶ σὲ, ἄμυνον ἀπὸ κινδύνων τοῦ πολεμίου, καὶ ἀδιαλείπτῳ τῇ εἰρήνῃ καὶ ἡσυχίᾳ διατήρησον αὐτόν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Εἰσάκουσον ἡμῶν, Κύριε ὁ Παντοκράτωρ Θεὸς, καὶ Σωτὴρ ἐλεήμων, συνήθη τὴν σὴν ἀγαθότητα ἀνάπαυε τούτῳ τῷ δούλῳ σου, ταύτῃ τῇ νόσῳ ταλαιπωρουμένως οἰμώζοντι· ἐπισκέψῃς αὐτὸν, Κύριε, ὡς καὶ τὴν πενθερὰν τοῦ Πέτρου, καὶ τὸν παῖδα τοῦ ἑκατοντάρχου ἐπεσκέψω, ὅπως ἐπισκέψῃς καὶ ἀποκαταστήσῃς τούτῳ κακουχουμένῳ

τὴν

τὴν πρόσθεν ὑγίειαν, ἐπειδὴ σοι ηὐδόκειτο· πλὴν εἰ μή, χορήγησον αὐτῷ οὕτω τὴν σὴν ἐπισκοπὴν ἀνεστηκέναι, ὥστε ὀϊζυροῦ τοῦ νῦν βίου τελευτήσαντος, σοὶ ἐν ζωῇ τῇ αἰωνίῳ συγκατοικήσειν. Ἀμήν.

¶ "Εἶτα ὁ Διάκονος τῷ ἀρρώστως "ἔχοντι, κατὰ τοιοῦτον τὸν "τύπον παραινέσει.

ΔΗλον εἴη σοι (ὦ ἀγαπητέ) ὅτι Θεὸς ὁ Παντοκράτωρ τῆς ζωῆς καὶ θανάτου, καὶ τῶν ἐπ' αὐτοῖς, ἥβης ἤγουν καὶ ἰσχύος, εὐεξίας, ὑγείας, γήρως, ἀσθενείας τε καὶ ἀρρωστίας ἐπιδεσπόζει τε καὶ κυριεύει· ὅθεν ὁποῖόν ἐστί σοι τὸ νόσημα, ἐκ τούτου ῥᾴδιόν ἐστι μαθεῖν, θεήλατον ἀναφανέστατα ἐπίσκεμμα Θεοῦ, καὶ πρὸς ὁποῖον τέλος, τοῦτό σοι ἐπιφέρεται ἀρρώστημα· εἰ ἄρα πρὸς τὸ τὴν σὴν ὑπομονὴν πειράζειν, εἴ τοι πρὸς τὸ τῶν ἄλλων παράδειγμα, ἵνα τὸ τῆς σῆς πίστεως δοκίμιον, εἰς ἔπαινον, καὶ τιμήν, καὶ δόξαν, ἐν ἀποκαλύψει εἰς ἀπειροπλάσιον εὐκλείας τε καὶ εὐδαιμονίας ἐπίδοσιν εὑρεθῇ, εἴτε δὴ ἡ νόσος ἐπίκειταί σοι πρὸς τὸ σωφρονίζειν ἢ ἐπανορθοῦν τι, τὸ τοῖς οὐρανίου τοῦ Πατρὸς σου ὀφθαλμοῖς προσκρουσάμενον· ἄγνωσιν ἐπ' ἀληθείας σοι γένοιτο, ὅτι τῶν πλημμεληθέντων ὄντως μετανοήσαντι, καὶ ταύτην τὴν νόσον εὐγνωμόνως ὑπομένοντι, τῷ ἐλέει τοῦ Θεοῦ, διὰ χάριτος Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, κομιδῇ πεποιθότι, τὰ εὐχαριστήρια ὑπὲρ πατρικῆς αὐτοῦ ἐπισκοπῆς εἰδότι, ἅμα δὲ καὶ θείῳ τῷ βουλήματι σεαυτὸν εὐήνιον παρεσχηκότι· ἐπὶ τὸ λυσιτελές τε καὶ ἄχρηστον ἡ κατασκήπτουσα νόσος ἀνενεχθῇ, καὶ εἰς ζωὴν τὴν αἰώνιόν σε ἐν εὐθείᾳ παρεισάξει.

¶ "Ἐὰν ὁ κακῶς διακείμενος "λίαν ἐπικινδύνως μαλακί"ζηται, ἐνταῦθα ὁ Κηδεμὼν "ἐκκόψει τὴν παραίνεσιν.

ΣΤέργε οὖν παρόντι Θεοῦ κολασμῷ· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει μέν, ὡς εἶπεν ὁ ἅγιος Παῦλος, μαστιγοῖ πάντα υἱόν, ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· Τίς γάρ ἐστιν ὁ υἱός, ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστέ, καὶ οὐχ υἱοί. Εἶτα, τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Ταῦτα τὰ ῥήματα (ὦ ἀγαθὲ ἀδελφὲ) Θεοῦ ἐστι τὰ θεσπίσματα, ἐν ἁγίᾳ τῇ γραφῇ εἰς ἡμετέραν τὴν παραμυθίαν καὶ παιδείαν γεγραμμένα· ἐφ' ᾧ μετὰ ὑπομονῆς καὶ εὐγνωμοσύνης τὴν ἐπουρανίου τοῦ Πατρὸς ἐπιτίμησιν ἀνέχειν, ὁπητιγοῦν ἔδοξεν εὐμενεῖ τῇ αὐτοῦ χρηστότητι, ἡμᾶς ἀλγηδόνι ἢ συμφορᾷ τινι ἐπισκεψαμένῃ, καὶ γὰρ εἴ τίς ἐστι τοῖς Χριστιανοῖς μείζων ἡ παράκλησις τοῦ συμμορφοῦσθαι τῷ Χριστῷ παρὰ τοῦ πράως τε καὶ ἀνεπαχθῶς τὰς δυσκολίας καὶ κακοπραγίας ἀναδέχεσθαι, οὐκ οἶδα. Ἐκεῖνος γὰρ αὐτὸς εἰς τὴν

χαρὰν οὐκ ἀνέβη πρὶν τὰς ὠδῖνας τοῦ θανάτου πεπονθέναι· ἐκεῖνος οὐκ εἰσῆλθεν εἰς τὴν δόξαν πρὶν σταυρωθῆναι. Οὕτως ἄρα ἡμῖν πρόκειται ἡ ὁδὸς εἰς χαρὰν τὴν αἰώνιον, ἵνα δὴ μετὰ τοῦ Χριστοῦ τὰς θλίψεις ὡς ῥᾷστα φέρειν. Ἡ θύρα ἀνεῳγμένη ἐπὶ τὸ βαδίζειν εἰς ζωὴν τὴν ἀΐδιον προθύμως δεῖ ἔξω τοῦ Χριστῷ ἀποτεθνηκέναι, ὅπως ἀπὸ νεκρῶν ἀναστάντες, οἷοί τε ἂν ὦμεν αὐτῷ ἐν ζωῇ τῇ αἰωνίῳ συγκατοικῆσαι. Διὸ ἐγώ, ἐν ὀνόματι τοῦ Θεοῦ παρακαλῶ σε ταύτην τὴν νόσον ὡς μάλιστά σοι συμφέρουσαν ἐπιεικῶς ὑπομεμενηκότι, διὰ μνήμης ἔχειν ὁμολογίαν τὴν ἐν τῷ σῷ Βαπτισμῷ ἐξ ἀρχῆς πεποιημένην. Ἐπειδὴ δὲ κατὰ τουτονὶ τὸν βίον ἅπαντες ὑπεύθυνοι ἐπὶ τὸ δοῦναι λόγον ἄνευ προσωποληψίας ἀκριβοδικαίῳ τῷ κριτῇ κατεχόμεθα, παρακελεύομαί σοι τὸ ἐξετάζειν, πῶς ἔχει τὰ σά, καὶ κατὰ τὸν Θεόν, καὶ κατὰ τοὺς ἀνθρώπους, ἵνα, ἡνίκα σεαυτὸν τῶν παραπτωμάτων ἐπαιτιᾷ τε καὶ καταγνῷς, ἐνώπιον Πατρὸς οὐρανίου ἕνεκα τοῦ Χριστοῦ τὸ ἔλεος εὑρεῖν δυνηθῇς, καὶ μηδαμῶς ἐν φρικτῷ τῷ κρίματι οὔτ' ἐγκληθῆναι, οὐδὲ καταδικασθῆναι. Τοίγαρ συντόμως τὰ κεφάλαια τῆς Πίστεως τῷ λόγῳ διεξελεύσομαι, ὅπως συνειδείης σοι ἀληθῶς πιστεύοντι, καὶ καθὼς ἀνήκει ἀνθρώπῳ τῷ Χριστιανῷ.

“ Εἶτα ὁ Διάκονος ἀναπεμπάσει τὰ κεφάλαια τῆς Πίστεως οὑτωσὶ φάμενος.

Πιστεύεις εἰς Θεὸν Πατέρα; (Καὶ τὰ ἑξῆς, ὡς ἄνω ἐν Βαπτισμῷ.)

¶ “ Εἶτα ὁ Διάκονος τὸν κλινήρη ἐξετάσει· Εἰ ἄρα τυγχάνῃ ὢν ἐν ἀγάπῃ κατὰ πᾶσαν τὴν οἰκουμένην, προτρέπων αὐτὸν ἐκ βάθους τῆς καρδίας ἑνὶ ἑκάστῳ τῷ προσπταίσαντι συγγνώμην ἔχειν, ἢ δὲ αὐτὸς προσκρούσῃ τινὶ συγγνώμην αἰτεῖν· καὶ ὅπου ἂν τὴν ὕβριν ἢ δεινόν τι ποτ' ἀπειργάσαιτο εἰς ἄκρον τῆς βλάβης κατὰ δύναμιν ποιῆσαι τὴν ἀπόδοσιν, ἢ καταλλαγήν. Ἐπειδὰν οὐκ ἔτι διέθετο τὰ ὑπάρχοντα, ποιείτω διαθήκην, καὶ τὰ χρέα· ἃ δεῖ ἔχειν ἐκτίειν τε καὶ λαβεῖν σαφηνιεῖ, πρὸς συνειδήσεως ἀποφορτισμόν, καὶ διαθήκης ἐπιτελειωτῶν ἡσυχασμόν. Ἀλλὰ μὴν οὐκ εἰκὸς δεῖ παρορμᾶν ἄνδρας ἔτι ὑγιαίνοντας τοῖς ἑαυτῶν οἴκοις ἐπιτάττειν.

¶ “ Τὰ ἄνω προειρημένα δύναιντ' ἂν ἀπαγγέλλεσθαι πρὶν ἄρξασθαι τῶν εὐχῶν, κατὰ τὸ δοκοῦν τῷ Διακόνῳ.

¶ “ Ὁ Διάκονος οὐδὲ ἐπιλήσμων οὔτε ἀτημελῶν ἔσται, ἐν τῷ λίαν ἀκριβῶς παραβιάζειν τὸν νοσοῦντα πρὸς τὸ ἀφειδῶς καὶ ἀφθόνως ἐπαρκεῖν τοῖς δεομένοις.

¶ “ Ἐνταῦθα ὁ μοχθηρῶς διακείμενος ἰδίᾳ ποιήσει τῷ Ἱερεῖ ἐξομολόγησιν ἁμαρτιῶν, εἰ δῆτα αἰσθήσεται τὸ συνειδότος βαρεῖ τινι πράγματι καταπιεζόμενον, καὶ μετὰ τὸ ἐξαγορεύειν, ὁ Ἱερεὺς τόνδε τρόπον ἀπολύσει αὐτόν.

Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τῇ αὐτοῦ Ἐκκλησίᾳ τοσοῦτο τὸ ἀξίωμα παρασχὼν, ὥστε πταίσματα τοῖς ἁμαρτωλοῖς, τοῖς ὄντως μετανοοῦσι, καὶ εἰς αὐτὸν πιστεύουσι, ἀφιέναι· ἐκ μεγάλης τῆς κατοικτίρσεως σοι τῶν παραπτωμάτων συγγνώμην ἔχει, καὶ διὰ τῆς ἐξουσίας, ἧς ἐπιτετράμμαι, πάντων τῶν σῶν ἁμαρτιῶν ἀπολύω σε· ἐν ὀνόματι τοῦ Πατρὸς, τοῦ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου. Ἀμήν.

Δεώμεθα.

Ἐλεημονέστατε Θεὸς, ὁ, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, οὕτω τὰ τῶν ἀκιβδήλως μετανοούντων ἀνομήματα ἐξαλείψας, ὥστε αὐτῶν διαπαντὸς ἀμνηστίαν ἄγειν· ἄνοιξον ἐλέους σου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῦτον τὸν δοῦλόν σου, τὴν ἄφεσιν καὶ συγγνώμην ἁμαρτιῶν ἀπὸ στήθους παραιτοῦντα. Ἀνανέωσον, ὦ περισπλαγχνέστατε Πάτερ, ὁποσοῦν ἤδη πανουργίᾳ καὶ ἀπεχθείᾳ τοῦ διαβόλου, ἤδη σφετέρᾳ αὐτοῦ διαφθορυίᾳ τῇ διανοίᾳ, καὶ ἀνθρωπίνῃ τῇ ἀσθενείᾳ ἠφανίσθη· τοῦτο τὸ νοσερὸν μέλος, ἐν ἑνότητι τῆς Ἐκκλησίας, σῶσον Κύριε καὶ διαφύλαξον, τὴν σύντριψιν αὐτοῦ μὴ παρεῖδε, αὐτοῦ τὰ δάκρυα ὑποδέχου, τὰς ἀλγηδόνας καταπράϋνε, ἢ ἀποσκέδασον, ὡς εὐάρεστον ἀναφαίνεται τῷ θείῳ σου βουλήματι· καὶ ἐπειδὴ εἰς τὸ ἔλεός σου πᾶσαν τὴν πεποίθησιν κατατέθεικε, μὴ ἐλλόγει αὐτῷ τὰ πρόσθεν ἁμαρτηθέντα, ἀλλ' εἰς τὴν σὴν εὐμένειαν λάβε αὐτὸν διὰ τῆς ἀξίας ἀγαπητοῦ τοῦ Υἱοῦ σου, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Τότε ὁ Διάκονος ἐρεῖ τὸν ἑξῆς Ψαλμόν. οα΄. 71.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με, κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.

Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου.

Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστὴς, ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.

Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοὶ, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.

Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην

καὶ

καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.

Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου· ὅτι οὐκ ἔγνων γραμματείας.

Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

Ὁ Θεός μου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν· ἀπαγγελῶ τὰ θαυμάσιά σου.

Καὶ ἕως γήρους καὶ πρεσβείου, ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με· ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου, ὁ Θεὸς ἕως τῶν ὑψίστων, ἃ ἐποίησάς μοι μεγαλεῖα· ὁ Θεὸς, τίς ὅμοιός σοι;

Ὅσας ἔδειξάς μοι θλίψεις, πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.

Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας

Παρεκάλεσάς με, [καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.]

Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεός· ψαλῶ σοι ἐν κιθάρᾳ ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψαλῶ σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.

Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Δόξα τῷ Πατρί· } Καὶ τὰ λοιπά.
Ὡς ἦν ἐν ἀρχῇ· }

« Τοῦτο τὸ Ἀντίφωνον προσθείς.

Λυτρωτὰ κόσμου, σῶσον ἡμᾶς· ὁ, διὰ Σταυροῦ καὶ τιμίου τοῦ αἵματός σου, ῥύσας ἡμᾶς, βοήθησον ἡμῖν, ἀντιβολοῦμέν σε, Κύριε.

¶ Εἶτα λέξει ὁ Διάκονος.

Παντοκράτωρ Θεὸς, ὁ πύργος ὑπάρχων τῆς ἰσχύος πᾶσι τοῖς ἐπ' αὐτὸν ἐλπίζουσιν· ᾧ πάντα ἐν οὐρανῷ, καὶ τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, ἀνακέκαμπται καὶ πέπεισται. Ἐκεῖνος νῦν καὶ ἀεὶ τυγχάνῃ σοι σκεπαστὴς ὢν, ποιοίη σε εἰδέναι καὶ αἰσθάνεσθαι, ὅτι οὐδὲν ἄλλο ὑπὸ τὸν οὐρανὸν ἐδόθη τοῖς ἀνθρώποις τὸ ὄνομα, δι' οὗ, καὶ παρ' οὗ, ἡ δύναιντο ὑγίειαν καὶ σωτηρίαν ἀπολαβεῖν, πλὴν εἰς τὸ ὄνομα μόνον Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ ΣΥΝΑΞΙΣ ΤΩΝ ΚΑΜΝΟΝΤΩΝ.

« Ἐπειδήπερ οἱ θνητοὶ τῶν ἀνθρώπων ὑπογείαις καὶ αἰφνιδίοις κινδύνοις, ἀσθενείαις τε, καὶ οἰζύσι τυγχάνουσιν ἐνεχόμενοι, καὶ τοίγε ἀνάγκη ἀπορεῖν ὁποίῳ δῆτα τῷ καιρῷ δήκειν ἢ παραμένειν τοῦ τῆδε βίου ἀναπαύσεσθαι, μάλιστά γε ἵνα προέχοιεν δοκῶσιν,

" ἀπαλλάττεσθαι, ὁπωποτοῦν τῷ Θεῷ βουλομένῳ ἐστὶν ἐγκαλέσαι, οἱ Κηδημόνες πλειστάκις, ἄλλως τε καὶ ἐν ὥρᾳ τοῦ λοιμοῦ, τοὺς ἐν παροικίᾳ μετὰ σπουδῆς παραινέσουσιν ἐπὶ τὸ συχνῶς μεταλαμβάνειν Κοινωνίας τοῦ σώματος καὶ αἵματος Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ τοῦτο ποιουμένοις οὐ παροῖδεν τῇ ἐπισκέψει οὐδεμιᾶς ἀεὶ τῆς Συνάξεως φροντίδος προσδεήσει.

" Ἐὰν δὲ ὁ ἀσθενήσας οὐχ' οἷός τε ᾖ φοιτᾶν εἰς τὴν Ἐκκλησίαν, καὶ διαπύρως γλίχηται καθ' ἰδίαν παναγίας τῆς Συνάξεως μεταλαμβάνειν, δεῖ μὲν προτεραίᾳ ὑπὸ δείλης ἢ τουθήμερον τῷ Κηδημόνι σημαίνειν, πόσους ἂν θέλοι αὐτῷ συγκοινωνήσειν.

" Καὶ τόπου προσήκοντος ἐν νοσοῦντος οἰκίᾳ παρεσκευασμένου, ὅπου δυνάσθ' ἂν ὁ Ἱερεὺς αἰδεσίμως λειτουργεῖν, ἅμα καὶ ἱκανοῦ συγκοινωνησόντων ἀριθμοῦ παρόντος, καὶ τῶν ἄλλων ἐπιτηδείων ἑτοίμων, ὁ Διάκονος τελέσει παναγίαν τὴν Σύναξιν.

Ἡ Συλλογή.

Παντοκράτωρ αἰώνιε Θεός, ὁ τοῦ γένους ἀνθρωπείου δημιουργὸς ὤν, ὃς ὃν ἀγαπᾷς παιδεύεις, καὶ πάντα υἱὸν ὃν παραδέξῃ μαστιγοῖς· ἐλέησον, ἱκετεύομεν, τουτονὶ τὸν δοῦλόν σου τῇ σῇ χειρὶ ἐπισκεμμένον· ὥστε ταύτην τὴν νόσον ὑπομονητικῶς ἐνεγκεῖν, καὶ εἰ σοι ἀρέσῃ, τῆς ὑγιείας πάλιν ἐπιτυχεῖν, καὶ ὁπηνίκα ἡ ψυχὴ μέλλει τοῦ σώματος ἀπολυθήσεσθαι, ἀρρύπαντος καὶ ἀκηλίδωτος ἡδυνήθη σοι παρασταθήσεσθαι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἑβρ. ιϐ. 12. Κόμμ. ε: 5.

Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ἐπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

Εὐαγγέλιον.

Ἰωάν. ε. 5. Κόμμ. κδ. 24.

Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

¶ " Ἐπὶ τῷ καιρῷ μεταδόσεως παναγίου τοῦ Μυστηρίου, Ἱερεὺς πρῶτον αὐτὸς ὑπολήψεται τὴν Σύναξιν, μετέπειτα τοῖς παροῦσιν, ἤγουν τοῖς παρεσκευασμένοις τῷ νοσοῦντι συγκοινωνεῖν ὑπηρετήσει.

¶ " Πλὴν εἴ τις διὰ τὴν τῆς ἀρρωστίας ἀκμήν, ἢ ὑπὸ τοῦ μὴ ἱκανῶς τὸν Κηδεμόνα ὑπομνῆσαι, ἢ ὑπὸ ἐνδείας τῶν συγκοινωνησόντων, ἢ ὑπὸ ἄλλου τινὸς εὐλόγου κωλύματος, οὐχ οἷός τε ᾖ λαβεῖν τὸ τοῦ σώματος καὶ αἵματος Χριστοῦ Μυστήριον· εἶτα ὁ Κηδεμὼν νουθετήσει αὐτόν, ὅτι εἰ δῆτα ἀληθῶς τῶν ἁμαρτηθέντων μετανοήσῃ, καὶ εἰς Ἰησοῦν Χριστὸν τὰ τοῦ θανάτου ὑπὲρ αὐτοῦ ἐπὶ τοῦ Σταυροῦ πεπονθότα, πρὸς τὴν

τὴν

"τὴν αὐτοῦ ἀπολύτρωσιν τὸ αἷμα ἐκχύσαντα, βεβαίως πιστεύσῃ, ἐμπόρως διὰ μνήμης ἔχων ὧν εὐεργεσιῶν ἐντεῦθεν ἐγενήθη μέτοχος, καὶ διὰ ταύτας ἐκ καρδίας χάριν [illegible]· καίπερ κατὰ σῶμα μὲν οὐκ ἔνι τοῦτο τὸ Μυστήριον ἀποδέξασθαι· ὅμως δὴ δὲ πρὸς σωτηρίαν τὴν ψυχικὴν τὸ τοῦ Σωτῆρος ἡμῶν σῶμά τε καὶ αἷμα ὄντως καὶ συμφερόντως ἐσθίει τε καὶ πίνει.

¶ "Ἐὰν δὲ ὁ κάμνων τυγχάνῃ τῷ αὐτῷ χρόνῳ ἐπισκεμμένος, καὶ παναγίαν τὴν Σύναξιν ὑποδεξάμενος, ἔξεστι τῷ Ἱερεῖ (ἐφ' ᾧ θᾶσσον ἀμφότερον τὸ καθῆκον ἀποτελεῖν) ἐκκόψαι τύπον τῆς Ἐπισκέψεως ἀπὸ τοῦ ψαλμοῦ, [Ἐπὶ σοὶ Κύριε ἤλπισα] καὶ μεταπηδᾶν εὐθὺς εἰς τὸ καθῆκον παναγίας τῆς Συνάξεως.

¶ "Ἐν τῷ τοῦ λοιμοῦ, ἱδρῶτος, ἢ ὑπνοσεῦν ἄλλου φθοροποιοῦ τοῦ νοσήματος, ὅταν διὰ συναφείας φόβον, οἱ παροικοῦντες οἴκῳ τοῦ νοσίμου ἐπὶ τὸ κοινωνῆσαι οὐδαμῇ τολμῷεν ἂν προσπελάζειν, καὶ ὁ κακῶς ἔχων λίαν θερμῶς ἐπαιτῆσαι, ὁ Διάκονος ἠδυνήθη καταμόνας ἐπικοινωνεῖν.

¶ ΤΑΞΙΣ ΤΑΦΗΣ ΤΩΝ ΝΕΚΡΩΝ.

¶ "Ὁ Ἱερεὺς ἐπὶ κλιμακίδος τοῦ ναοῦ ἀπαντήσας τῷ φερέτρῳ, ἀγορεύσει· ἤτοι οἱ Διάκονοι καὶ Κληρικοὶ μετ' αὐτοῦ πορευθέντες εἰς τὸν τάφον, ἢ τὸ Ἱερόν, τὰς ἑξῆς ἀντιφώνας ᾄσουσι.

Ἰωάν. ια. 11. Κόμμ. κε. κϛ. 25. 26.

Ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.

Ἰώβ. ιθ. 19. Κό. κε. κϛ. κζ. 25. 26. 27.

Οἶδα γὰρ ὅτι ἀένναός ἐστιν ὁ ἐκλύειν με μέλλων, ἐπὶ γῆς ἀναστῆναι τὸ δέρμα μου τὸ ἀνατλοῦν ταῦτα· παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι, ἃ ὁ ὀφθαλμός μου ἑώρακε, καὶ οὐκ ἄλλος.

α. Τιμ. ϛ. 6. Κόμμ. ζ. 7.

Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδέ τι ἐξενεγκεῖν δυναίμεθ' ἄν.

¶ "Ὅταν ἐπὶ τὸ πολυάνδρειον εἰσελθῶσιν, μέχρι οὗ τὸ νεκρὸν ἑτοιμασθῇ πρὸς τὸ θάπτεσθαι, ὁ Ἱερεὺς ἐρεῖ, ἢ Διάκονοι καὶ Κληρικοὶ ᾄσουσι.

Ἰώβ. ιδ. 14. Κόμμ. α. β. 1. 2.

Βροτὸς γὰρ γεννητὸς γυναικός, ὀλιγόβιος, καὶ πλήρης ὀργῆς, ἢ

ὥσπερ ἄνθος αὐθῆσαι ἐξέπεσεν· ἀνέδρα δὲ ὥσπερ σκιά, καὶ οὐ μὴ στῇ. Ἐν μέσῳ τῆς ζωῆς, τῷ θανάτῳ καταδιόμεθα. Ἀπὸ τίνος οὖν βοηθείας δεόμεθα, πλὴν ἢ σοῦ, Κύριε, τοῦ διὰ τὰ ὑφ' ἡμῶν πλημμεληθέντα εἰκότως ἐξοργισθέντος; Ἀλλ' ὅμως δή, Κύριε, ὁ Θεὸς πανάγιος, ὁ Δεσπότης παντοδύναμος, ὁ Λυτρωτὴς ὁσιώτατός τε καὶ συγγνωμονικώτατος, εἰς πικρὰς ἀϊδίου τοῦ θανάτου ὀδύνας οὐ μὴ παραδῷς ἡμᾶς· Σὺ ἔγνως, Κύριε, τὰ ἡμέτερα τῶν καρδιῶν κρυπτά· ἐλεήμονας τοὺς ὀφθαλμοὺς σου ταῖς εὐχαῖς ἡμῶν μηδαμῶς ἐγκαλύψειας· ἀλλὰ φεῖσαι ἡμῶν, Κύριε ὦ πανάγιε, Θεὸς ὁ κραταιός, ὁσιώτατος καὶ ἐλεημονέστατος, ὁ ῥύστης δικαιότατος, καὶ αἰώνιος, ὁ κριτὴς ὤν, οὐδαμῶς ἐάσῃς ἡμᾶς ἐν ἐσχάτῃ τῇ ὥρᾳ διά τινας τοῦ θανάτου ἀλγηδόνας ἀπὸ σοῦ παντελῶς ἀποστῆναι.

¶ "Μεταξὺ οὖν αἱ βῶλοι ἐπὶ τὸν "νεκρὸν ἐμβάλλονται, ὁ Ἱε-"ρεὺς λέξει.

Ἐπειδήπερ ηὐδόκει τῷ Θεῷ τῷ Παντοκράτορι, ἐκ μεγάλης τῆς ἀγαθότητος, τὴν τοῦ δὲ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ ἀποιχομένου ψυχὴν ἀναλαβεῖν· τὸ σῶμα αὐτοῦ τῇ γῇ ἐπιτρέπομεν, πηλὸν πρὸς πηλόν, σποδὸν πρὸς σποδόν, κόνιν πρὸς κόνιν, ἐν βεβηκυίᾳ τε καὶ στερρᾷ τῇ ἐλπίδι τῆς εἰς ζωὴν τὴν αἰώνιον ἀναστάσεως, διὰ Ἰησοῦ Χριστοῦ, τοῦ μετασχηματίσοντος τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

¶ Εἶτα λεχθήσεται ἢ ᾀσθήσεται ἡ Ἀντιφώνη.

Ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι, γράψον, μακάριοι οἱ νεκροί, οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι· Ναί, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν.

¶ "Οἷς ἀκολουθεῖ ἡ ἀνάγνωσις "ἐκ πεντεκαιδεκάτου κεφα-"λαίου προτέρας πρὸς Κορι-"νθίους Ἐπιστολῆς.

Νυνὶ δέ, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχήν, καὶ πᾶσαν ἐξουσίαν, καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται

ταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι. Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; Τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; Φάγωμεν, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. Μὴ πλανᾶσθε. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω. Ἀλλ' ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί; Ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν. Ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· ἀλλ' ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. Ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ γέγραπται· ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος, ἐξ οὐρανοῦ. Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Ἰδού, μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα· ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι (σαλπίσει γάρ) καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· Κατεπόθη ὁ θάνατος εἰς νῖκος. Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾅδη, τὸ νῖκος; Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος· τῷ δὲ Θεῷ χάρις, τῷ διδόντι ἡμῖν τὸ νῖκος, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε,

ἀδελφοὶ

ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

¶ Παυσαμένης τῆς ἀναγνώσεως, ὁ Ἱερεὺς λέξει.

Κύριε ἐλέησον.
Χριστὲ ἐλέησον.
Κύριε ἐλέησον.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀπόκρισις.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς.

ΠΑντοκράτωρ Θεός, μεθ' οὗ τὰ τῶν ἐντεῦθεν ἀπερχομένων ἐν Κυρίῳ πνεύματα ζῇ, καὶ ἐν ᾧ αἱ ψυχαὶ τῶν σῶν ἐκλεκτῶν τοῦ τῆς σαρκὸς ὄγκου καὶ σάγματος ἐλευθερωθέντων, χαρᾶς καὶ εὐδαιμονίας ἀπολαύουσιν· ἐκ καρδίας εὐχαριστοῦμεν, ὅτι μὲν ηὐδοκεῖτό σοι τουτονὶ τὸν ἡμῶν ἀδελφὸν Ν. τῶν ἐξαγίστου τοῦ κόσμου ταλαιπωριῶν ἀπορρυσαμένῳ. ἀντιβολοῦντές σε εὐαρεστήσαντα, προσηνεστάτης τῆς σῆς ἀγαθωσύνης ἕνεκεν, ἐν τάχει τὸν τῶν ἐκλεκτῶν σου ἀριθμὸν ἀναπληροῦν, καὶ τὴν σὴν βασιλείαν κατασπεύδειν, ἵνα ἡμεῖς ξὺν τουτῳὶ τῷ ἀδελφῷ καὶ τῷ λοιπῷ τῶν ἐν ἀληθεῖ τῇ πίστει, καὶ παναγίου τοῦ ὀνόματός σου ὁμολογίᾳ τελευτησάντων, ἀνύσιμου τῆς μακαρίας τε καὶ συντελείας ἐν τῇ σῇ αἰωνίῳ δόξῃ ἀφικέσθαι δυνηθῶμεν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ἘΛεημονέστατε Θεέ, Πάτερ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς τυγχάνεις ὢν ἀνάστασις καὶ ζωή, εἰς ὃν ὁ πιστεύων, κἂν ἀποθάνῃ, ζήσεται· καὶ ὁ ζῶν καὶ πιστεύων οὐδαμῶς εἰς αἰῶνας ἀποθνήξεται. Ὃ δὴ καὶ διὰ ἁγίου Ἀποστόλου σου τοῦ Παύλου διδάξας ἡμᾶς, μὴ λυπηθῆναι καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα περὶ τῶν κεκοιμημένων ἐν αὐτῷ· ἱκετεύομέν σε (ὦ Πάτερ) ἀπὸ θανάτου τῆς ἁμαρτίας εἰς ζωὴν τῆς δικαιοσύνης ἀνεγεῖραι ἡμᾶς, ὥστε τοῦ νῦν βίου ἀπαλλαγέντα ἀναπαύλης ἐπιτυχεῖν (ἧς ἐλπὶς ὅτι καὶ τὸν ἀδελφὸν ἤδη τετυχηκέναι) καὶ ἐν γενικωτάτῃ ἀναστάσει ἐνώπιόν σου εὐπροσδέκτως εὑρεθῆναι, καὶ τὴν εὐλογίαν ὁ Υἱός σου ἀγαπητὸς παντὶ τῷ ἀγαπῶντί τε καὶ φοβοῦντί σε ἀπαγγελεῖ, ἀνακομίσασθαι. Ὁ φάσκων, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν τὴν ἀπὸ καταβολῆς τοῦ κόσμου ὑμῖν ἡτοιμασμένην. Τοῦτο χάρισαι, ἱκετεύομεν, ἐλεημονέστατε Πάτερ, διὰ τοῦ Μεσίτου καὶ Λυτρωτοῦ ὄντος, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ ΕΥΧΗ

¶ ΕΥΧΑΡΙΣΤΗΡΙΟΝ ΓΥΝΑΙΚΩΝ ΜΕΤΑ ΤΗΝ ΛΟΧΕΙΑΝ.

¶ « Η᾽ γυνὴ εἰς τὸ ναὸν ἥξει, καὶ ἐκεῖ, ἐν τόπῳ τινι προσήκοντι, ἐξ ἴσης
« Κυριακῆς τῆς τραπέζης γονυπετοῦσα. καὶ ὁ Ι᾽ερεὺς προσφωνεῖ ταῦτα
« ἢ τοιαῦτα τὰ ῥήματα, κατὰ τὸ δέον, ἐρεῖ.

Ε᾽Πειδὴ ηὐδοκήθη Θεῷ τῷ παντοκράτορι, ἐκ τῆς αὐτοῦ ἀγαθότητος, σῶσαί σοι παιδοκύησιν χαρισαμένῳ, καὶ ἐν μεγάλῳ τῷ τοκετοῦ κινδύνῳ διατηρησαμένῳ σε· Σὺ ἄρα προθύμως χάριν εἴσῃς, καὶ δεηθῇς.

¶ « Εἶτα ὁ Γερεὺς τὸν ἑξῆς Ψαλ-
« μὸν ἀναγινώσκει. ρκα. 121.

Ἦρα τοὺς ὀφθαλμοὺς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Η᾽ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μὴ δῴη εἰς σάλον τὸν πόδα σου· μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ι᾽δοὺ, οὐ νυστάξει, οὐδὲ ὑπνώσει, ὁ φυλάσσων τὸν Ι᾽σραήλ.

Κύριος φυλάξοι σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Η᾽μέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξοι τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδον, καὶ ἕως τοῦ αἰῶνος.

Δόξα Πατρί· Ω᾽ς ἦν ἐν ἀρχῇ· } Καὶ τὰ ἑξῆς.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Α᾽πόκρισις.

Α᾽λλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ι᾽ερεύς.

Σῶσον, Κύριε, ταύτην τὴν γυναῖκα, τὴν δούλην σου.

Α᾽πόκρισις.

Τὴν ἐλπίσασαν ἐπὶ σοί.

Γερεύς.

Γίνου αὐτῇ πύργος τῆς ἰσχύος.

Α᾽πόκρισις.

Α᾽πὸ προσώπου τοῦ ἐχθροῦ.

Ι᾽ερεύς.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Α᾽πόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς σὲ ἐλθέτω.

Ι᾽ερεύς.

¶ Δεηθῶμεν.

Παντοκράτορ Κύριε, ὃ ταύτην τὴν γυναῖκα τὴν θεράπαιναν σου μεγάλων τῆς λοχείας ὠδίνων καὶ κινδύνων

κινδύνων ἐλευθερώσας, χάρισαι, ἀντιβαλλόμεθά σε, ἐλεημονέστατε Πάτερ, ὥστε τῇ σῇ βοηθείᾳ ἐν τῇ κλήσει αὐτῆς, κατὰ τὸ βούλημά σου, περιπατοῦσα, πιστῶς διάγειν τὸν βίον ἐν τῷ παρόντι, καὶ τῆς αἰωνίου δόξης μεταλαβεῖν ἐν αἰῶνι τῷ μέλλοντι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ “Ἡ γυνὴ μὲν εὐχαριστήσασα
“προσφορὰς τὰς εἰθισμένας
“ὀφείλει προσενεγκεῖν, καὶ πο-
“αγίαν τὴν Σύναξιν, εἰ ἄρ-
“διακονηθῇ, ἀποδέξασθαι.

¶ ΑΠΕΙΛΗ ΚΑΤΑ ΤΩΝ ΑΜΑΡΤΩΛΩΝ,

μετά τινων εὐχῶν ὧν διαφόροις ἐνιαυτοῦ καιροῖς ἐθιστέον ἐστί.

¶ “Ληξασῶν τῶν εἰς ὄρθρον εὐχῶν, καὶ τοῦ λαοῦ παρὰ τοῦ κρούειν τὸ κρ-
“ταλον ἀπὸ μιᾶς ἐν τῷ ναῷ συνηθροισμένου, ἡ λιτανεία ἐπιχωρ-
“είῳ τῇ γλώσσῃ κατὰ εἰωθότα τρόπον λεχθήσεται, καὶ κατὰ ταῦτ-
“ὁ Ἱερεὺς, εἰς τὸ βῆμα παριὼν, τὰ ἑξῆς ἐρεῖ.

ΕΝ ἀρχαίᾳ τῇ Ἐκκλησίᾳ (ἀδελφοὶ) εὐσεβὴς ἐτύγχανεν οὖσα ἡ παιδεία, ὅπως ἤγουν ἐν ἀρχῇ τῆς τεσσαρακοστῆς, ὅσοι περιφανεροὶ ἦσαν ἀκολάστως ἁμαρτόντες, εἰς τὸ ποιῆσαι δημοσίαν τὴν μετάνοιαν ἠναγκάσθησαν, ἐφ' ᾧ ἐν αἰῶνι τῷ παρόντι ζημιωθέντες, ἐν ἡμέρᾳ Κυρίου σωθῆναι αἱ αὐτῶν ψυχαὶ δυνηθῶσι· Ἵνα δὲ καὶ οἱ ἄλλοι τῷ αὐτῶν παραδείγματι νενουθετημένοι, τοιαῦτα διαπράξαι μὴ τολμῶσι. Ἧς ἐν τάξει μὲν παιδείας (μέχρι οὗ δύνηται εἶναι ἀνακαινισθῆναι αὐτὴν, ὅπερ εὐκτέον ἐστὶν) ἔοικε νῦν, ἐν τῷ παρεῖναι ὑμᾶς, τὸ ἀναγνῶναι γενικώτερά τινα ῥησείδια τῶν τοῦ Θεοῦ καταρῶν, εἰς ἀλεπανόητων τῶν ἁμαρτωλῶν ἐξ εἰκοστοῦ καὶ ἑβδόμου Δευτερονομίου κεφαλαίου, καὶ ἀλλαχόθεν, ἐν ἁγίᾳ τῇ Γραφῇ συνηθροισμένα· καὶ τὸ ἀποκρίνεσθαι ὑμᾶς εἰς ἑκάστῳ τῷ γενομένῳ, Γένοιτο· Ἵνα ἕκαστος ὑμῶν περὶ πεφυρμένης τοῦ Θεοῦ ὀργῆς καὶ τῶν ἁμαρτωλῶν ὑπομνησθεὶς, εἰς διάπυρον καὶ ἀληθινὴν τὴν μετάνοιαν προσκληθῇ, καὶ τοσούτῳ μᾶλλον περιεσκεμμένως ἐν ταῖς πονηραῖς ἐπικινδύνοις ἡμέραις διατελῇ, ταῦτα τὰ ἁμαρτήματα διαδιδράσκων, ὑπὲρ ὧν ὑπόδικον ἄνθρωπον ἑαυτὸν τῇ κατάρᾳ ἰδίῳ τῷ στόματι καταφατίζει.

Ἐπικατάρατος ἄνθρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτὸν, βδέλυγμα Κυρίου, ἔργον χειρῶν τεχνίτου, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ.

¶ Καὶ ἀποκριθήσεται ὁ λαὸς, καὶ ἐρεῖ,
Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὁ ἀτιμάζων τὸν

τὸν

πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου, καὶ ὀρφανοῦ, καὶ χήρας.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὃς ἂν μοιχεύσηται γυναῖκα τοῦ πλησίον.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀθῴου.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπικατάρατοι οἱ ἀνελεήμονες, οἱ πόρνοι, καὶ μοιχοί, οἱ πλεονέκται, καὶ εἰδωλολάτραι, οἱ διαβάλλοντες, καὶ μέθυσοι, καὶ οἱ ἅρπαγες.

Λαός.

Γένοιτο.

Διάκονος.

Ἐπειδὴ τοίνυν μὲν οὗτοι πάντες τὴν κατάραν ἐπεσπάσανται, καθὼς φησιν ὁ προφήτης ὁ Δαβὶδ ἐπικαταρήσας, οἱ δῆτα ἀποπλανώμενοι καὶ ἐκκλίνοντες τῆς εὐθείας τῶν ἐντολῶν τοῦ Θεοῦ· ἐπιστρεφώμεθα οὖν Θεῷ τῷ Κυρίῳ (μεμνημένοι τῆς ὀρρωδίας τοῦ κρίματος ὑμετέρᾳ τῇ κεφαλῇ ἐπικρεμαμένου, καὶ ἑκάστοτε ἡμῖν ἐγκειμένου·) πάσῃ τῇ συντρίψει καὶ ταπεινότητι τῆς καρδίας, τὰ ἁμαρτωλῶς βεβιωμένα οἰμώξαντες καὶ θρηνοῦντες, τὰ ἡμῶν προσκρούσματα ἐπεγνωκότες καὶ ὁμολογοῦντες, καὶ σπουδάζοντες ποιῆσαι καρπὸν ἄξιον τῆς μετανοίας. Ἤδη δὲ γὰρ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν ἄρα οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Ἐπιβρέξει γὰρ ἐφ' ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ἰδοὺ γάρ, ὁ Κύριος ἀπὸ τοῦ Ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Τίς δὲ δυνήσεται ὑπομένειν ἡμέραν τῆς ἐπελεύσεως αὐτοῦ; Τίς οἷός τ' ἔσται ὑποστῆναι, ὅταν φανεῖται; Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ,

καὶ συνάξει τὸν σῖτον αὐτοῦ, εἰς τὴν ἀποθήκην· τὸ δὲ ἄχυρον πυρὶ ἀσβέστῳ κατακαύσει. Ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται· ὅταν καὶ λέγωσιν, εἰρήνη, καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι. Τότε φανεῖται ἡ ὀργὴ Θεοῦ ἐν ἡμέρᾳ τῆς κρίσεως, ἣν οἱ ἀνένδοτοι τῶν ἁμαρτωλῶν κατὰ τὴν αὐτῶν σκληρότητα, καὶ ἀμετανόητον καρδίαν, ἐθησαύρισαν οἱ καταφρονοῦντες τοῦ πλούτου τῆς χρηστότητος, τῆς τε ἀνοχῆς, καὶ τῆς μακροθυμίας Θεοῦ τοῦ εἰς μετάνοιαν αὐτοὺς διηνεκῶς ἄγοντος. Τότε ἐπικαλέσονταί με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι, ἔφη ὁ Κύριος, ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν, ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ λόγον τοῦ Κυρίου οὐ προείλοντο, οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους· εἶτα ὀψιαίτερον γενήσεται τὸ κρούειν, ὅταν ἡ θύρα ἀποκέκλεισται, ὀψιαίτερον ἐπικαλέσαι τὸ ἔλεος, ὅταν ἡ ὥρα ἐλήλυθε τῆς ἀποδέξεως. Ὢ φρικτῆς τῆς φωνῆς δικαιοτάτου τοῦ κριτοῦ, ἣν ἀπαγγελεῖ κατ' αὐτῶν, λέξας, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Ἐν καιρῷ ἄρα εὐλαβητέον ἐστὶν (ἀδελφοὶ) προσέτι παραμενούσης ἡμέρας τῆς σωτηρίας· ἔρχεται γὰρ νὺξ, ὅταν οὐδεὶς δύναται ἐργάζεσθαι. ἡμεῖς δὲ ἕως οὗ ἔχομεν τὸ φῶς, πιστεύωμεν τῷ φωτὶ, καὶ περιπατῶμεν ὡς παῖδες τοῦ φωτός· ὥστε μὴ ἐκβαλοῦσιν ἡμᾶς εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Οὐκ οὖν παραχρώμεθα Κυρίου τῇ χρηστότητι, τῆς ἡμᾶς εἰς μετάνοιαν προσκαλεσαμένης, καὶ ἐξ ἀπείρων τῶν οἰκτιρμῶν, τὴν τῶν παραπτωμάτων ἄφεσιν ὑποσχομένης· ἐπείπερ ὅλῃ τῇ διανοίᾳ καὶ ἀληθεῖ τῇ καρδίᾳ πρὸς αὐτὸν ἐπαναστρεψώμεθα. Ἂν γὰρ αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανεῖ ὁ Θεὸς, ἐὰν εἶεν ὡς κόκκινον, ὡς ἔριον λευκανεῖ. Λέγει Κύριος, ἐπιστράφητε, καὶ ἀποστρέψατε ἐκ πασῶν τῶν ἀσεβειῶν, καὶ οὐκ ἔσονται εἰς κόλασιν ὑμῖν ἀδικίαι. ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν, ἃς ἠσεβήσατε εἰς ἐμὲ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα καινόν· καὶ ἵνα τί ἀποθνήσκετε οἶκος Ἰσραήλ; Διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει Κύριος, ἐπιστρέψατε καὶ ζήσετε. Κἂν ἁμαρτάνωμεν, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Ἐπαναστρεφώμεθα οὖν εἰς αὐτὸν, τὸν ἐλεήμονα, ὃς ἅπαντας τοὺς ἁμαρτωλοὺς τοὺς ὄντως μετανοοῦντας ἀποδεξάμενον. Τούτῳ πεποιθότες, ὅτι δηλαδὴ εὐκατάφορον ἔχει ἐπὶ τὸ ἀναλήψεως, καὶ προπετὴς τυγχάνει ὢν ἐπὶ τὸ συγγνῶναι· ἐὰν εἰς αὐτὸν πιστῶς ἐν τῇ μετανοίᾳ προσέλθωμεν· ἐὰν ὑποχειρίους ἡμᾶς αὐτῷ θέντες ἐν ταῖς ὁδοῖς αὐτοῦ μετερχόμενοι ἀεὶ πορευόμενοι· ἐὰν τὸν ζυγὸν αὐτοῦ καὶ φορτίον τὸ ἐλαφρὸν ἄρωμεν ἐν

τῇ

τῇ ταπεινοφροσύνῃ, ὑπομονῇ τε, καὶ ἀγάπῃ, αὐτὸν μιμήσαντες τῇ τοῦ Πνεύματος ἁγίου ἡγεμονίᾳ ὑποταχθέντες, τήν τε αὐτοῦ δόξαν ἐπιζητήσαντες, καὶ αὐτῷ ἐν τῇ ἑαυτῶν κλήσει μετὰ τῆς εὐχαριστίας ἀληθῶς λατρεύοντες. Ταῦτα ἄρα ἐπιτηδεύοντας ἡμᾶς, τῆς τοῦ νόμου κατάρας τε, καὶ ἐσχάτης τῆς δίκης ἀπορρύσεται, ἣν τοὺς ἐπ' εὐωνύμων εἰσπράξεται, καὶ στήσας ἐκ δεξιῶν, ἡμῖν δώσει μακαρίαν τὴν εὐλογίαν, καλεσάμενος ἡμᾶς ἐνδοξοτάτην τὴν βασιλείαν τοῦ Πατρὸς κατιδεῖν, ἧς μεταδοῦναι ἡμῖν δι' ἀπείρου τοῦ ἐλέους ἀξιοῖ ὁ Θεός.

¶ "Εἶτα πᾶς ὁ λαὸς γονυπετήσει· ὅδε Ἱερεὺς καὶ Κληρικοὶ συνοκλάζοντες ὅπου μὲν ἔθος ἐστὶ τὴν λιτανείαν ἀγορεύειν, τόνδε τὸν ἑξῆς ψαλμὸν ἀναγνώσουσι.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γάρ, ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γάρ, ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν, καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσα τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ

καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρί·
Ὡς ἦν ἐν ἀρχῇ· } Καὶ τὰ ἑξῆς.

Κύριε ἐλέησον.
Χριστὲ ἐλέησον.
Κύριε ἐλέησον.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀπόκρισις.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς.

Σῶσον Κύριε τοὺς δούλους σου.

Ἀπόκρισις.

Τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἱερεύς.

Ἐξαποστείλαις αὐτοῖς βοήθειαν ἐξ ὕψους.

Ἀπόκρισις.

Καὶ διαπαντὸς ἐπάμυνον αὐτοῖς κραταιῶς.

Ἱερεύς.

Βοήθησον ἡμῖν ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν.

Ἀπόκρισις.

Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Ἱερεύς.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς σὲ ἐλθέτω.

¶ Δεηθῶμεν.

Ἵλεως εἰσάκουσον ἡμῶν, ἀντιβολοῦμεν, Κύριε, τὰς λιτάς, καὶ φεῖσαι τῶν τὰς ἑαυτῶν ἁμαρτίας ἐναντίον σου ἐξομολογουμένων· ὅπως ὧν τὰ συνειδότα ὑπὸ σφετέρων αὐτῶν πλασμάτων κατηγορεῖται, τῇ σῇ ἐλεήμονι συγγνώμῃ ἀπολυθῆναι δύναιντο ἄν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Παντοκράτωρ Θεὸς, ἐλεήμων ὁ Πατὴρ, ὁ πᾶσιν ὁλοκλήρως τοῖς ἀνθρώποις ἐπισπλαγχνισθεὶς, ὁ οὐ μὴ μισήσας οὐδὲν ὃ ἐδημιούργησας, ὁ δὴ καὶ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἵνα ἀποστρέψῃ ἐκ τῶν πονηρῶν ἐθῶν, καὶ ζήσεται· ἐλεεινῶς συγγνῶθι ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὑπόδεχου καὶ παρακάλεσον ἡμᾶς ὑπὸ βάρους ἁμαρτιῶν κεκοπιακότας τε καὶ πεφορτισμένους. Σοῦ ἐστιν ἐλεεῖν· πρὸς σὲ ἀναφέρεται τὸ τὰς ἀνομίας ἀφιέναι. Φεῖσαι οὖν ἡμῶν, ἀγαθὲ Κύριε, φεῖσαι τοῦ λαοῦ σου, ὃν ἐλύτρωσας·

ἐλύπρωσας· μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου, οἱ τυγχάνομεν οὐδαμινὸς πηλὸς, καὶ ἀθλίως ὄντες ἁμαρτωλοὶ, οὕτω τὴν σὴν φλεγμαίνουσαν ὀργὴν ἀποστρέψῃς ἀφ' ἡμῶν, τῶν ἑαυτῶν ἐκφαυλισμὸν ἐπιγνωκότων, ἅμα καὶ ἐπὶ τὰ πλημμεληθέντα μετανενοηκότων· οὑτωσὶ εἰς τὸ βοηθῆσαι ἡμῖν προσέχῃς, ἐν τῷ παρόντι, ὅπως σοὶ διαπαντὸς συγκαταζήσωμεν ἐν αἰῶνι τῷ μέλλοντι· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ « Τότε ὁ λαὸς τοῦ Ἱερέως προ-
« λέγοντος τοῦτο τὸ ἑπόμενον ἐρεῖ.

Ἐπίστρεψον ἡμᾶς, Θεὸς ὁ Κύριος, καὶ ἐπιστραφησόμεθα· ἱλάσθητι Κύριε, ἱλάσθητι τῷ λαῷ σου, τῷ ἐπιστραφέντι εἰς σὲ ἐν κοπετῷ, νηστείᾳ, καὶ ἱκετείᾳ. Σὺ γὰρ ἐλεήμων ὁ Θεὸς, οἰκτίρμων, μακρόθυμος, καὶ πολυέλεος. Σὺ ἐφείσω ὅταν ἔνοχοί ἐσμεν τῆς δίκης, ἐν ὀργῇ σου κατανοεῖς τὸ ἔλεος· φεῖσαι, ὦ ἀγαθὲ Κύριε, φεῖσαι τοῦ λαοῦ σου, καὶ μὴ δῷς κληρονομίαν σου εἰς ὄνειδος. Εἰσάκουσον ἡμῶν, Κύριε, ὅτι τὸ ἔλεός σου μέγα ἐστὶν ἐφ' ἡμᾶς, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἔπιδε ἡμᾶς.

Δόξα τῷ Θεῷ.

ΨΑΛΤΗΡΙΟΝ

ΠΡΟΦΗΤΟΥ ΚΑΙ

ΒΑΣΙΛΕΩΣ

ΤΟΥ ΔΑΒΙΔ.

ΕΙΣ ΤΑ ΤΜΗΜΑΤΑ ΚΑΙ ΚΟΜΜΑΤΑ
ἐν Ἐκκλησίᾳ ἡμῶν Ἀγγλικανῇ δημοσίως
εἰωθότα διῃρημένον.

ΕΝ ΛΟΝΔΙΝΩ
Ἐδόθη παρὰ Θωμᾶ τοῦ Κωτησίου τυποθέτου περὶ τῆς σωτη-
ρίας ἔτει. αχλη.

ΒΙΒΛΟΣ ΨΑΛΜΩΝ.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ, ΑΝΕΠΙ-γραφος παρ' Ἑβραίοις.

ΨΑΛΜ. α'. 1. } { Ἑωθιναὶ εὐχαί.

ΜΑΚΑ'ΡΙΟΣ
ἀνὴρ ὃς οὐκ ἐπο-
ρεύθη ἐν βουλῇ
ἀσεβῶν, καὶ ἐν
ὁδῷ ἁμαρτωλῶν
οὐκ ἔστη, καὶ ἐπὶ
καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.
2. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ
θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ
μελετήσει ἡμέρας καὶ νυκτός.
3. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυ-
τευμένον παρὰ τὰς διεξόδους τῶν
ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει
ἐν καιρῷ αὐτοῦ.
4. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤ-
ῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κα-
τευοδωθήσεται.
5. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ
οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει
ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.
6. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀ-
σεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν
βουλῇ δικαίων.
7. Ὅτι γινώσκει Κύριος ὁδὸν
δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

ΨΑΛΜ. β'. 2.

Ψαλ. τῷ Δαβίδ.

1 ἹΝατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ
ἐμελέτησαν κενά;
2. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς,
καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐ-
τὸ, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ
αὐτοῦ.
3. Διαῤῥήξωμεν τοὺς δεσμοὺς
αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν
τὸν ζυγὸν αὐτῶν.
4 Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκ-
γελάσεται αὐτοὺς, καὶ ὁ Κύριος
ἐκμυκτηριεῖ αὐτούς.
5. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν
ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ
ταράξει αὐτούς.
6. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς
ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον
αὐτοῦ.
7. Διαγγέλλων τὸ πρόσταγμα
Κυρίου. Κύριος εἶπε πρός με, υἱός
μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.
8. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι
ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν
κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.
9. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ

σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

10. Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.

11. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

12. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

ΨΑΛΜ. γ'. 3.

Ψαλμὸς τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼν τοῦ υἱοῦ αὐτοῦ.

1 ΚΥριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

2. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. διάψαλμα.

3. Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

4. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

5. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

6. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

7. Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

8. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

ΨΑΛΜ. δ'. 4.

Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς τῷ Δαβίδ.

1 ΕΝ τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

2. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

3. Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ, Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

4. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

5. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.

6. Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά;

7. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε.

8. Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

9. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. Ὅτι σὺ Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜ.

ΨΑΛΜ. ε. 5.

Ὑπὲρ τῆς κληρονομούσης, ψαλμὸς τῷ Δαβίδ.

1 ΤΑ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες τῆς κραυγῆς μου.

2. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου· Ὅτι πρὸς σὲ προσεύξομαι.

3. Κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με.

4. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· Οὐ παροικήσει σοι πονηρευόμενος.

5. Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

6. Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

7. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

8. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου· κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

9. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

10. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

11. Κρῖνον αὐτοὺς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.

12. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

13. Ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜ. ς. 6. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαβίδ.

ΚΥριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

2. Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.

3. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σύ, Κύριε, ἕως πότε;

4. Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

5. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

6. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

7. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

8. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

9. Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

10. Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

ΨΑΛΜ. ζ. 7.

Ψαλμὸς τῷ Δαβὶδ, ὃν ᾖσε τῷ Κυρίῳ, ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμινί.

1 Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

2. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος.

3. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου.

4. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

5. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

6. Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω,

7. Καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.

8. Κύριος κρινεῖ λαούς. Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

9. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον.

10. Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δικαίως.

11. Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

12. Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.

13. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.

14. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

15. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν.

16. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

17. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

18. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΨΑΛΜ. η. 8.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Δαβίδ.

1 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

2. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν

ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

3. Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας.

4. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

5. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.

6. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,

7. Πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου.

8. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.

9. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

ΨΑΛΜ. θ΄. 9. } { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαβίδ.

ΕΞομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

2. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε.

3. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

4. Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην.

5. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

6. Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ᾽ ἤχου,

7. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει, ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ,

8. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

9. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι.

10. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.

11. Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.

12. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

13. Ἐλέησόν με Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,

14. Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών· Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου,

15. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν. Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν.

16. Γινώ-

16. Γινώσκεται Κύριος κρίματα ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

17. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.

18. Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.

19. Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου.

20. Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.

ΨΑΛΜ. ί. ιθ.

Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν;

2. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.

3. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

4. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.

5. Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.

6. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.

7. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.

8. Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων, ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῶον. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν.

9. Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν,

10. Ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν,

11. Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

12. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

13. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

14. Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει.

15. Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς,

16. Τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός.

17. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ.

18. Κύριος βασιλεύς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἀπόλεσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ.

19. Τὴν

19. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας Κύριε, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

20. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

ΨΑΛΜ. ιά. 11.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαβίδ.

Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη, ὡς στρουθίον,

2. Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.

3. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησε;

4. Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.

5. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

6. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

7. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

8. Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

ΨΑΛΜ. ιβ'. 12. } { Ἑσπεριναί. εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαβίδ.

Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

2. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά.

3. Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα.

4. Τοὺς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστιν;

5. Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων,

6. Νῦν ἀναστήσομαι, λέγει Κύριος. Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

7. Τὰ λόγια Κυρίου, λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

8. Σὺ Κύριε φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.

9. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι,

κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΨΑΛΜ. ιβ'. 13.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

1 Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

2. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;

3. Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον,

4. Μήποτε εἴποι ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ,

5. Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.

6. Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΨΑΛΜ. ιγ'. 14.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

1 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός.

2. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα.

3. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.

4. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

5. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

6. Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει· ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα,

7. Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν· καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν;

8. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου·

9. Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐδειλίασαν φόβον, οὗ οὐκ ἦν φόβος. Ὅτι Κύριος ἐν γενεᾷ δικαίων,

10. Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

11. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

ΨΑΛΜ. ιδ΄. 15. } { Ἑσπέραι εὐχαί.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

Κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;

2. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ,

3. Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ. Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ.

4. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει.

5. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν,

6. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.

7. Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

ΨΑΛΜ. ιε΄. 16.

Στηλογραφία τῷ Δαβίδ.

Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.

2. Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

3. Τοῖς ἁγίοις, τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

4. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν.

5. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

6. Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

7. Σχοινία ἔπεσόν μοι ἐν τοῖς κρατίστοις μου, καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.

8. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

9. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

10. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

11. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

12. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

ΨΑΛΜ. ιϛ΄. 17.

Προσευχὴ τῷ Δαβίδ.

Εἰσάκουσον Κύριε δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου,

Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.

2. Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

3. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων,

4. Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

5. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

6. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

7. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ· ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου,

8. Φύλαξόν με Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με,

9. Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον,

10. Τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

11. Ἐκβαλόντες με, νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

12. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

13. Ἀνάστηθι Κύριε, πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

14. Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

15. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

16. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

ΨΑΛΜ. ιη΄. 18. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαβίδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ᾗ ἐῤῥύσατο αὐτὸν ὁ Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν.

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· Ὁ Θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν· Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.

2. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

3. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.

4. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με,

μου, περιέσχον με ὠδῖνες θανάτου, ... περιέφθασάν με παγίδες θανάτου.

5. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπικαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.

6. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

7. Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.

8. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλογήσεται, ἄνθρακες ἀνήφθησαν ἀπ᾽ αὐτοῦ.

9. Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

10. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

11. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.

12. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.

13. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

14. Ἐξαπέστειλε βέλη, καὶ ἐσκόρπισεν αὐτοὺς, καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς.

15. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης ἀπὸ ἐπιτιμήσεώς σου Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

16. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

17. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

18. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.

19. Καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν, ῥύσεταί με, ὅτι ἠθέλησέ με.

20. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.

21. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.

22. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ᾽ ἐμοῦ.

23. Καὶ ἔσομαι ἄμωμος μετ᾽ αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

24. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

25. Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ.

26. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

27. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

28. Ὅτι σὺ φωτιεῖς λύχνον μου Κύριε ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.

29. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ

μου,

μου ὑπερβήσομαι τεῖχος.

30. Ὁ Θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια Κυρίου πεπυρωμένα, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.

31. Ὅτι τίς θεὸς πάρεξ τοῦ Κυρίου; ἢ τίς θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;

32. Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

33. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

34. Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.

35. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου. Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει.

36. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου.

37. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν.

38. Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

39. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου.

40. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.

41. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων· πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.

42. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.

43. Ῥῦσαί με ἐξ ἀντιλογίας λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.

44. Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι.

45. Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι,

46. Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

47. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.

48. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ·

49. Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.

50. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.

51. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ Δαβίδ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

ΨΑΛΜ. ιη'. 19. — Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

2. Ἡμέρα

2. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

3. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

4. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

5. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν·

6. Ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ. Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ.

7. Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς, ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.

8. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν, ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

9. Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος, τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

10. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.

11. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

12. Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με,

13. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

14. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός.

15. Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.

ΨΑΛΜ. κ'. 20.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

1 Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

2. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

3. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

4. Δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

5. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.

6. Νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

7. Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

8. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

9. Κύριε σῶσον τὸν βασιλέα, καὶ

ἐπάκουσον

ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

ΨΑΛΜ. κά. 21.

Ψαλμὸς τῷ Δαβίδ.

1 Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

2. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

3. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίᾳ χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

4. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ, μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

5. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

6. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

7. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.

8. Εὑρεθείη ἡ χείρ σου, πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

9. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου, Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

10. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

11. Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὰς αἷς οὐ μὴ δύνωνται στῆναι.

12. Ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

13. Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

ΨΑΛΜ. κβ'. 22. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαβίδ.

Ο Θεὸς ὁ Θεός μου, πρόσχες μοι, ἵνατί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

2. Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

3. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

4. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐῤῥύσω αὐτούς.

5. Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.

6. Ἐγὼ δὲ εἰμὶ σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ.

7. Πάντες

7. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

8. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.

9. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.

10. Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας. Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ.

11. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι.

12. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με.

13. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

14. Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

15. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

16. Ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με.

17. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.

18. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

19. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες.

20. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.

21. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

22. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

23. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. Φοβηθήτωσαν δὲ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ,

24. Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκουσέ μου.

25. Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.

26. Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον, οἱ ἐκζητοῦντες αὐτὸν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

27. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς. Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

28. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

29. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς,

30. Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ,

31. Καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ, ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη.

32. Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

ΨΑΛΜ. κγ'. 23.

Ψαλμὸς τῷ Δαβίδ.

1 Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

2. Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.

3. Τὴν ψυχήν μου ἐπέστρεψεν, ὁδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

4. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ, ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

5. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

6. Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜ. κδ'. 24.

Ψαλμὸς τῷ Δαβίδ τῆς μιᾶς τῶν Σαββάτων.

1 Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

2. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

3. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

4. Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

5. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

6. Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

7. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

8. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ.

9. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης;

10. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

ΨΑΛΜ.

ΨΑΛΜ. κδ΄. 25.

Ψαλμὸς τῷ Δαβίδ.

Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μηδὲ καταγελάτωσάν με οἱ ἐχθροί μου.

2. Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν, αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

3. Τὰς ὁδούς σου Κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

4. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

5. Μνήσθητι τῶν οἰκτιρμῶν σου Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

6. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς, Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου Κύριε.

7. Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

8. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

9. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ.

10. Ἕνεκεν τοῦ ὀνόματός σου Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

11. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

12. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

13. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

14. Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

15. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

16. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

17. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

18. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.

19. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

20. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε.

21. Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

ΨΑΛΜ. κς΄. 26.

Ψαλμὸς τῷ Δαβίδ.

1 Κρῖνόν μοι Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.

2. Δοκίμασόν με Κύριε καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.

3. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστί, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.

4. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

5. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

6. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε,

7. Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου· καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

8. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σοῦ καὶ τόπον σκηνώματος δόξης σου.

9. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.

10. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.

11. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με.

12. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε Κύριε.

ΨΑΛΜ. κζ΄. 27. } { Ἑσπεριναί. εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ, πρὸ τοῦ χρισθῆναι.

Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

2. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου· Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον.

3. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

4. Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.

5. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με.

6. Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.

7. Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ, ᾄσω καὶ ψαλῶ τῷ Κυρίῳ.

8. Εἰσάκουσον Κύριε τῆς φωνῆς μου, ἧς ἐκέκραξα, ἐλέησόν με, καὶ εἰσάκουσόν μου.

9. Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου Κύριε ζητήσω.

10. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.

11. Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ σωτήρ μου.

12. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με· ὁ δὲ Κύριος προσελάβετό με.

13. Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.

14. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

15. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.

16. Ὑπόμεινον τὸν Κύριον, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

ΨΑΛΜ. κη'. 28.

Ψαλμὸς τῷ Δαβίδ.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μή ποτε παρασιωπήσῃς καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

2. Εἰσάκουσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν τὸν ἅγιόν σου.

3. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με· τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

4. Δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.

5. Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

6. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.

7. Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

8. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην· καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.

9. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστι.

10. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. κθ'. 29.

Ψαλμὸς τῷ Δαβίδ, ἐξοδίου σκηνῆς.

1. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν· ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

2. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

3. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε.

4. Κύριος ἐπὶ ὑδάτων πολλῶν· φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.

5. Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου.

6. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

7. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός· φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.

8. Φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμοὺς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

9. Κύριος τὸν κατακλυσμὸν κα-

τοικοῦ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.

10. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

ΨΑΛΜ. λ΄. 30. } { Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαβίδ.

Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

2. Κύριε ὁ Θεός μου ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με.

3. Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.

4. Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

5. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ, τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

6. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· Κύριε ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.

7. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.

8. Πρὸς σὲ Κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.

9. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;

10. Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;

11. Ἤκουσε Κύριος καὶ ἠλέησέ με· Κύριος ἐγενήθη βοηθός μου.

12. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.

13. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ· Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

ΨΑΛΜ. λα΄. 31.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ, ἐκστάσεως.

1 Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με.

2. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με.

3. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

4. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με.

5. Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου Κύριε.

6. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας.

7. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς, ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα.

8. Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι

ἐπεῖδες

ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

9. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

10. Ἐλέησόν με Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

11. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

12. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

13. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου, οἱ θεωροῦντές με ἔξω, ἔφυγον ἀπ' ἐμοῦ.

14. Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.

15. Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν, ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

16. Ἐγὼ δὲ ἐπὶ σοὶ Κύριε ἤλπισα· εἶπα, σὺ εἶ ὁ Θεός μου.

17. Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου, ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.

18. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου.

19. Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.

20. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

21. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε· ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

22. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων· σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

23. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

24. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

25. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

26. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

27. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΨΑΛΜ. λβ΄. 32. } { Ἑσπέριαι εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ, συνέσεως.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

2. Μακάριος ἀνήρ, οὗ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

3. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ

ὀστᾶ

ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

4. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

5. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα.

6. Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

7. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

8. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου, λύτρωσαί με, ἀπὸ τῶν κυκλωσάντων με.

9. Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

10. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

11. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

12. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

ΨΑΛΜ. ΛΓ'. 33.

Ψαλμὸς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

1 Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

2. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

3. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ.

4. Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

5. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

6. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

7. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

8. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ· ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

9. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

10. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.

11. Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

12. Μακάριον τὸ ἔθνος οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

13. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

14. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.

15. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

16. Ψευδὴς

16. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.

17. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

18. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.

19. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν.

20. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

21. Γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

ΨΑΛΜ. λδʹ. 34.

Ψαλμὸς τῷ Δαβὶδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμελὲχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

2. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

3. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

4. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

5. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

6. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

7. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

8. Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν.

9. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

10. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

11. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς.

12. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

13. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

14. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

15. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

16. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.

17. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

18. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

19 Φυλάττει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

20. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

21. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

ΨΑΛΜ. λέ. 35. } { Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ.

Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

2 Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.

3. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με· εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ.

4. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

5. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

6. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

7. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.

8. Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε, συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

9. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

10. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, Κύριε, τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

11. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με.

12. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

13. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

14. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως εὐηρέστουν, ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.

15. Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων. Διεσχίσθησαν καὶ οὐ κατενύγησαν.

16. Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

17. Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.

18. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

19. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεάν, καὶ διανεύοντες ὀφθαλμοῖς.

20. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλά-

λουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

21. Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· εἶπον εὖγε, εὖγε· εἴδον οἱ ὀφθαλμοὶ ἡμῶν.

22. Εἶδες Κύριε, μὴ παρασιωπήσῃς, Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

23. Ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου.

24. Κρῖνόν με Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.

25. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποισαν, κατεπίομεν αὐτόν.

26. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν, οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ.

27. Ἀγαλλιασάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου· καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

28. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν ἔπαινόν σου.

ΨΑΛΜ. λϛ'. 36.

Εἰς τὸ τέλος, τῷ παιδὶ Κυρίου τῷ Δαβίδ.

1 ΦΗσὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

2. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι.

3. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠθέλησε συνιέναι τοῦ ἀγαθῦναι.

4. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ· κακίᾳ δὲ οὐ προσώχθισε.

5. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.

6. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή.

7. Ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.

8. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.

9. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

10. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.

11. Μὴ ἐλθέτω μοι πoὺς ὑπερηφανίας· καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.

12 Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

ΨΑΛΜ. λζ'. 37. } { Ἑσπεριναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ.

ΜΗ παραζήλου ἐν πονηρευομένοις μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.

2. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

3. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει

χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.

4. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.

5. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ᾽ αὐτόν, καὶ αὐτὸς ποιήσει.

6. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.

7. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν· μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.

8. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου, ὥστε πονηρεύεσθαι.

9. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν.

10. Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός· καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

11. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

12 Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ᾽ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

13. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.

14. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν. Τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.

15. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη.

16. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

17. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος.

18. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται.

19. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.

20. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

21. Δανείζεται ὁ ἁμαρτωλός, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει, καὶ δίδωσιν.

22. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.

23. Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα.

24. Ὅταν πέσῃ, οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.

25. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον· οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

26. Ὅλην ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

27. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.

28. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται.

29. Ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσονται.

30. Δίκαιοι

30. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.

31. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

32. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

33. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.

34. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίποι αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδ' οὐ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ.

35. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν· ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς, ὄψει.

36. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου.

37. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

38. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

39. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπιτοαυτό· τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

40. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.

41. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

ΨΑΛΜ. λή 38. } { Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβὶδ, εἰς ἀνάμνησιν περὶ τοῦ Σαββάτου.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

2. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

3. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

4. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

5. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

6. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

7. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

8. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

9. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

10 Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

11. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ ἔστησαν.

Καὶ οἱ ἔγγισά μου ἀπὸ μακρόθεν ἔστησαν.

12. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου. Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

13. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον· καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

14. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

15. Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα, σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου.

16. Ὅτι εἶπον, μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

17. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

18. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

19. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

20. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

21. Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

22. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

ΨΑΛΜ. λθ'. 39.

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺμ, ᾠδὴ τῷ Δαβίδ.

1 Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου.

2. Ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

3. Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

4. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Ἐλάλησα ἐν γλώσσῃ μου.

5. Γνώρισόν μοι Κύριε τὸ πέρας μου. Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

6. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου. Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.

7. Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. Θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

8. Καὶ νῦν τίς ἡ ὑπομονή μου, οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.

9. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.

10. Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας.

11. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου, ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.

12. Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαι-

ἐπαίδευσας ἄνθρωπον. Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην πᾶς ἄνθρωπος.

13. Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι, τῶν δακρύων μου, μὴ παρασιωπήσῃς.

14. Ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

15. Ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

ΨΑΛΜ. μʹ. 40.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

1 Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

2. Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

3. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν.

4. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.

5. Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.

6. Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι.

7. Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

8. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

9. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας· τότε εἶπον, ἰδοὺ ἥκω.

10. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.

11. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως.

12. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.

13. Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

14. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλάβοιντό μου.

15. Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.

16. Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με, Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

17. Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν· Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.

18. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγοντές μοι, εὖγε, εὖγε.

19. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε, καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος,

οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

20. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, Κύριος φροντιεῖ μου.

21. Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ, ὁ Θεός μου μὴ χρονίσῃς.

ΨΑΛΜ. μα΄. 41. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

2. Κύριος διαφυλάξαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.

3. Κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ. ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.

4. Ἐγὼ εἶπα, Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

5. Οἱ ἐχθροί μου εἶπον κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ.

6. Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν. μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

7. Κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι.

8. Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;

9. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ᾽ ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν.

10. Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

11. Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ.

12. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.

13. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος, καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

ΨΑΛΜ. μβ΄. 42.

Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.

1 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός,

2. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

3. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου;

4. Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ.

5. Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.

6. Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

7. Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι

μολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου,

8. Ὁ Θεός μου· Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.

9. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

10. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί. προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.

11. Ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μου εἶ· Διατί μου ἐπελάθου, καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;

12. Ἐν τῷ καταθλάσαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου.

13. Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου;

14. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με;

15. Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ. σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

ΨΑΛΜ. μγʹ. 43.

Ψαλμὸς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

Κρῖνόν μοι ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου, ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.

2. Ὅτι σὺ εἶ ὁ Θεὸς κραταίωμά μου, ἱνατί ἀπώσω με, καὶ ἱνατί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;

3. Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου.

4. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου, ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεὸς ὁ Θεός μου.

5. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με;

6. Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

ΨΑΛΜ. μδʹ. 44. } { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν. Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

2. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.

3. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς.

4. Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.

5. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.

6. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερα-

πατήσομεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.

7. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με.

8. Ἔσωσας γὰρ ἡμᾶς, ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

9. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.

10. Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

11. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

12. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

13. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.

14. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.

15. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

16. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστί, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

17. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.

18. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου.

19. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.

20. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

21. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

22. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

23. Ἐξεγέρθητι, ἱνατί ὑπνοῖς Κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.

24. Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;

25. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

26. Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

ΨΑΛΜ. μέ. 45.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

1 Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.

2. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

3. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν

χείλεσι

χείλεσί σου, διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

4. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου

5. Καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε. Ἕνεκεν ἀληθείας καὶ πραότητος, καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

6. Τὰ βέλη σου ἠκονημένα, δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

7. Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.

8. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

9. Σμύρνα, καὶ στακτὴ, καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφραναν σε.

10. Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου, παρέστη ἡ βασίλισσα, ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

11. Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.

12. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.

13. Καὶ θυγάτηρ Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

14. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

15. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

16. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.

17. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

18. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΨΑΛΜ. μϛ'. 46.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορὲ, ὑπὲρ τῶν κρυφίων, ψαλμός.

1 Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

2. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

3. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν· ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.

4 Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.

5. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

6. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ.

7. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

8. Δεῦτε

8. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς,

9. Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

10. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τῇ γῇ.

11. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

ΨΑΛΜ. μζʹ. 47. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ, ψαλμός.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

2. Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

3. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

4. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν.

5. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

6. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.

7. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς.

8. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

9. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

ΨΑΛΜ. μηʹ. 48.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ, δευτέρᾳ Σαββάτου.

1 Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.

2. Εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς, ὄρη Σιών, τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.

3. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διήλθοσαν ἐπὶ τὸ αὐτό.

4. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν,

5. Τρόμος ἐπελάβετο αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης,

6. Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.

7. Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν· ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

8. Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.

9. Κατὰ τὸ ὄνομά σου ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, δικαιοσύνης πλήρης ἡ δεξιά σου.

10. Εὐφρανθήτω ὄρος Σιών, καὶ

ἀγαλ-

ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου Κύριε.

11. Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.

12. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

13. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΨΑΛΜ. μθ'. 49.

Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ, ψαλμός.

1 Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

2. Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπιτοαυτὸ πλούσιος καὶ πένης.

3. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

4. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

5. Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

6. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

7. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει Θεῷ ἐξίλασμα ἑαυτοῦ.

8. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ,

9. Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα· καὶ ζήσεται εἰς τέλος. Οὐκ ὄψεται καταφθοράν,

10. Ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας, ἐπιτοαυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.

11 Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν,

12. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Αὕτη ἡ ὁδὸς αὐτῶν.

13. Σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.

14. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθετο, θάνατος ποιμανεῖ αὐτούς. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τοπρωΐ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.

15. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.

16. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

17. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

18. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.

19. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

20. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε,

συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

ΨΑΛΜ. ν'. 50. } { Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς τῷ Ἀσάφ.

Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

2. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

3. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

4. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.

5. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.

6 Καὶ ἀνα[illegible] οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτ[illegible] κειτὴς ἐστιν.

7. Ἄκουσον λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι ὁ Θεὸς, ὁ Θεός σου εἰμὶ ἐγώ.

8. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐστὶ διαπαντός.

9. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

10. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες.

11. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.

12. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω, ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.

13. Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;

14. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου.

15. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.

16. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

17. Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

18. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.

19. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας.

20. Καθήμενος, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

21. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

22. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ἡ ὁ ῥυόμενος.

25. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣ δείξω αὐτῷ τὸ σωτήριόν μου.

5. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

6. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου Κύριε, ὅτι ἀγαθόν.

7. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΨΑΛΜ. νέ. 55.

Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Ἀσάφ.

1 Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου·

2. Πρόσχες μοι καὶ εἰσάκουσόν μου· Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην.

3. Ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

4. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

5. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέ με σκότος.

6. Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω;

7. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

8. Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά με, ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος.

9. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

10. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία.

11. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

12. Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.

13. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.

14. Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου.

15. Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

16. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.

17. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

18. Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.

19. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

20. Εἰσακούσεται ὁ Θεός, καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων· Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

21. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ·

22. Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν· Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

23. Ἐπίρριψον ἐπὶ Κύριον τὴν

μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει, οὐ δώσει εἰς αἰῶνα σάλον τῷ δικαίῳ.

24. Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.

25. Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ Κύριε ἐλπιῶ ἐπὶ σέ.

ΨΑΛΜ. νϛʹ. 56. } { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαβὶδ, εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ Ἀλλόφυλοι ἐν Γέθ.

Ἐλέησόν με ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.

2. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με.

3. Ἀπὸ ὕψους ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.

4. Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ.

5. Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

6. Παροικήσουσι καὶ κατακρύψουσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι. Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου·

7. Ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατάξεις.

8. Ὁ Θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου. Ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου·

9. Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω· Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ.

10. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον·

11. Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.

12. Ἐν ἐμοὶ ὁ Θεὸς εὐχαὶ, ἃς ἀποδώσω, αἰνέσεως σου.

13. Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος· εὐαρεστήσω ἐνώπιον Κυρίου, ἐν φωτὶ ζώντων.

ΨΑΛΜ. νζʹ. 57.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

1 Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθοι ἡ ἀνομία.

2. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.

3. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

4. Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων,

5. Ἐκοιμήθην τεταραγμένος.

Υἱοὶ

Υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.

6. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

7. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου· Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν. διάψαλμα.

8. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

9. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

10. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

11. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

12. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

ΨΑΛΜ. νζ´. 58.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ, εἰς στηλογραφίαν.

1 Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε υἱοὶ τῶν ἀνθρώπων.

2. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

3. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.

4. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.

5. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπαδόντων, φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.

6. Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν· τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον, ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν.

7. Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται· ἔπεσε πῦρ ἐπ᾽ αὐτούς, καὶ οὐκ εἶδον τὸν ἥλιον.

8 Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον· ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.

9. Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

10. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ· ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

ΨΑΛΜ. νη´. 59. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

2. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

3. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί. Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε.

4. Ἄνευ ἀνομίας ἔδραμον, καὶ κατεύθυνα· Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε.

5. Καὶ σὺ Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ· Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

6. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

7. Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι, τίς ἤκουσε;

8. Καὶ σὺ Κύριε ἐκγελάσῃ αὐτούς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.

9. Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου.

10. Τὸ ἔλεος αὐτοῦ προφθάσει με. Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.

11. Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.

12. Ἁμαρτία στόματος αὐτῶν λόγος χειλέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν, καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται.

13. Ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι, καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακώβ, καὶ τῶν περάτων τῆς γῆς.

14. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

15. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν.

16. Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου· Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου, ἐν ἡμέρᾳ θλίψεώς μου.

17. Βοηθός μου εἶ, σοὶ ψαλῶ, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου.

ΨΑΛΜ. ξ. 60.

Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις, εἰς στηλογραφίαν τῷ Δαβίδ, εἰς διδαχήν. Ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβάλ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν Ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν, δώδεκα χιλιάδας.

1 Ὁ Θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς· ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς.

2 Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν, ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

3 Ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

4. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. διάψαλμα.

5. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

6. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

7. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός Μανασσῆς, καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου.

8. Μωὰβ

8. Μωὰβ λέβης τῆς ἐλπίδος μου· ἐπὶ τὴν Ἰδουμαίαν, ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

9. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

10. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

11. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

12. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

ΨΑΛΜ. ξα΄. 61.

Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαβὶδ ψαλμός.

1 Εἰσάκουσον ὁ Θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

2. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου.

3. Ἐν πέτρᾳ ὕψωσάς με. Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

4. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

5. Ὅτι σὺ ὁ Θεὸς εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

6. Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

7. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

8. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

ΨΑΛΜ. ξβ΄. 62. } { Ἐκτεναὶ εὐχαί.

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺμ, ψαλμὸς τῷ Δαβίδ.

Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μου.

2. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

3. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.

4. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψῃ· τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

5. Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.

6. Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.

7. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου, ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.

8. Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαοῦ, ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν.

9 Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώ-

τῶν ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.

10. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

11. Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ.

12. Καὶ σοῦ Κύριε τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΨΑΛΜ. ξγ'. 63.

Ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας.

1 Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω.

2. Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου. Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

3. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

4. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε.

5. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

6. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

7. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

8. Ὅτι ἐγενήθης βοηθός μου. Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

9. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

10. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.

11. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

12. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

ΨΑΛΜ. ξδ'. 64.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαβίδ.

1 Εἰσάκουσον ὁ Θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

2. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.

3. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν·

4. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται.

5. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν· διηγήσαντο τοῦ κρύψαι παγίδας· εἶπον, τίς ὄψεται αὐτούς;

6. Ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις. Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα,

7. Καὶ ὑψωθήσεται ὁ Θεός. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν,

8. Καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν, ἐταράχθησαν πάντες

πάντες οἱ θεωροῦντες αὐτούς,
9. Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος,
καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, καὶ
τὰ ποιήματα αὐτοῦ συνῆκαν.
10. Εὐφρανθήσεται δίκαιος ἐν
τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν, καὶ
ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ
καρδίᾳ.

ΨΑΛΜ. ξδ'. 65. } { Ἑσπεριναί εὐχαί.

Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τῷ
Δαβίδ ᾠδή Ἱερεμίου καὶ Ἰεζε-
κιὴλ ἐκ τοῦ λαοῦ τῆς παροικίας ὅτε
ἔμελλον ἐκπορεύεσθαι.

ΣΟΙ πρέπει ὕμνος ὁ
Θεὸς ἐν Σιών, καὶ σοὶ
ἀποδοθήσεται εὐχὴ ἐν
Ἱερουσαλήμ.
2. Εἰσάκουσον
προσευχῆς μου πρὸς σὲ πᾶσα
σὰρξ ἥξει.
3. Λόγοι ἀνόμων ὑπερεδυνάμω-
σαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ
ἱλάσῃ.
4. Μακάριος, ὃν ἐξελέξω καὶ
προσελάβου, κατασκηνώσει ἐν ταῖς
αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς
ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ ναός
σου,
5. Θαυμαστὸς ἐν δικαιοσύνῃ.
Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ σωτὴρ
ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων
τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.
6. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ
αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ,
7. Ὁ συνταράσσων τὸ κύτος τῆς
θαλάσσης, ἤχους κυμάτων αὐτῆς τίς
ὑποστήσεται;
8. Ταραχθήσονται τὰ ἔθνη καὶ
φοβηθήσονται οἱ κατοικοῦντες τὰ
πέρατα, ἀπὸ τῶν σημείων σου, ἐξό-
δους πρωΐας καὶ ἑσπέρας τέρψεις.
9. Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέ-
θυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτί-
σαι αὐτήν,
10. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπλη-
ρώθη ὑδάτων, ἡτοίμασας τὴν τροφὴν
αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.
11 Τὰς αὔλακας αὐτῆς μέθυσον,
πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν
ταῖς σταγόσιν αὐτῆς, εὐφρανθήσε-
ται ἀνατέλλουσα.
12. Εὐλογήσεις τὸν στέφανον τοῦ
ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ
πεδία σου πλησθήσονται πιότητος.
13. Πιανθήσονται τὰ ὡραῖα
τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ
περιζώσονται.
14 Ἐνεδύσαντο οἱ κριοὶ τῶν προ-
βάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι
σῖτον, κεκράξονται, καὶ γὰρ ὑμνή-
σουσιν.

ΨΑΛΜ ξε'. 66.

Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστά-
σεως.

1 Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ
γῆ, ψάλατε δὴ τῷ ὀνόματι
αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.
2. Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ
τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνά-
μεώς σου ψεύσονταί σε οἱ ἐχθροί
σου.
3. Πᾶσα ἡ γῆ προσκυνησάτω-
σάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτω-
σαν δὴ τῷ ὀνόματί σου, ὕψιστε. διά-
ψαλμα.

4. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς, ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

5. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί, ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ.

6. Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν· οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. διάψαλμα.

7. Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

8. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

9. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

10. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.

11. Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

12. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου· Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.

13. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων· διάψαλμα.

14. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

15. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

16. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος.

17. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεός, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.

18. Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΨΑΛΜ ξζ΄. 67.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς ᾠδῆς τῷ Δαβίδ.

1 Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

2. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

3. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

4. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

5. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, Ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

6 Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν.

7. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

ΨΑΛΜ. ξζ'. 68. { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος ᾠδῆς, ψαλμὸς τῷ Δαβίδ.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

2. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

3. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιασθήτωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

4. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ, ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ,

5. Τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν. Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ,

6. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ. Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις

7 Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ.

8. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

9. Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε· σὺ δὲ κατηρτίσω αὐτήν.

10. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ· ἡτοίμασας ἐν τῇ χρηστότητι σου τῷ πτωχῷ, ὁ Θεός.

11. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

12 Ὁ Βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

13. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

14. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών,

15 Ὄρος τοῦ Θεοῦ ὄρος πῖον. Ὄρος τετυρωμένον, ὄρος πῖον.

16. Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

17. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· Κύριος ἐν αὐτοῖς, ἐν Σινᾶ, ἐν τῷ ἁγίῳ.

18. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.

19. Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

20. Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, καὶ τοῦ Κυρίου, Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

21. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

22. Εἶπε Κύριος, ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης

23. Ὅπως ἂν βαφῇ ὁ πούς σου

ἐν αἵματι· ἡ γλῶσσα τῶν κυνῶν
σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.
24. Ἐθεωρήθησαν αἱ πορεῖαί σου
ὁ Θεὸς, αἱ πορεῖαι τοῦ Θεοῦ μου βασι-
λέως, τοῦ ἐν τῷ ἁγίῳ
25. Προέφθασαν ἄρχοντες ἐχό-
μενα ψαλλόντων, ἐν μέσῳ νεανίδων
τυμπανιστριῶν.
26. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν
Θεὸν Κύριον, ἐκ πηγῶν Ἰσραήλ.
27 Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν
ἐκστάσει. Ἄρχοντες Ἰούδα ἡγεμόνες
αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχον-
τες Νεφθαλείμ.
28. Ἔντειλαι ὁ Θεὸς τῇ δυνά-
μει σου· δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ
κατειργάσω ἐν ἡμῖν.
29 Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσα-
λήμ· σοὶ οἴσουσι βασιλεῖς δῶρα.
30 Ἐπιτίμησον τοῖς θηρίοις τοῦ
καλάμου· ἡ συναγωγὴ τῶν ταύρων
ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐκ-
κλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ
ἀργυρίῳ. Διασκόρπισον ἔθνη τὰ
τοὺς πολέμους θέλοντα·
31 Ἥξουσι πρέσβεις ἐξ Αἰ-
γύπτου, Αἰθιοπία προφθάσει χεῖρα
αὐτῆς τῷ Θεῷ
32. Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε
τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ διά-
ψαλμα
33. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρα-
νὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ
δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνά-
μεως.
34. Δότε δόξαν τῷ Θεῷ, ἐπὶ τὸν
Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ
ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις·
35. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς
ἁγίοις αὐτοῦ. ὁ Θεὸς Ἰσραὴλ αὐτὸς
δώσει δύναμιν καὶ κραταίωσιν τῷ
λαῷ αὐτοῦ· εὐλογητὸς ὁ Θεός.

ΨΑΛΜ. ξθ'. 69. — Ἑσπεριναὶ εὐχαί.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησο-
μένων, ψαλμὸς τῷ Δαβίδ.

Σῶσόν με ὁ Θεὸς, ὅτι
εἰσήλθοσαν ὕδατα ἕως
ψυχῆς μου.
2 Ἐνεπάγην εἰς
ἰλὺν βυθοῦ, καὶ οὐκ
ἔστιν ὑπόστασις· Ἦλθον εἰς τὰ βάθη
τῆς θαλάσσης, καὶ καταιγὶς κατε-
πόντισέ με
3. Ἐκοπίασα κράζων, ἐβρα-
γχίασεν ὁ λάρυγξ μου· ἐξέλιπον οἱ
ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με
ἐπὶ τὸν Θεόν μου.
4 Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας
τῆς κεφαλῆς μου οἱ μισοῦντές με δω-
ρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί
μου, οἱ ἐκδιώκοντές με ἀδίκως·
5. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίν-
νυον. Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφρο-
σύνην μου, καὶ αἱ πλημμέλειαί μου
ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν
6 Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ
ὑπομένοντές σε Κύριε τῶν δυνάμεων,
μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ, οἱ
ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ
7. Ὅτι ἕνεκα σοῦ ὑπήνεγκα
ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ
πρόσωπόν μου
8 Ἀπηλλοτριωμένος ἐγενήθην
τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς
υἱοῖς τῆς μητρός μου.
9. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κα-
τέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν
ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ'
ἐμέ.

10. Καὶ

10. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

11. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

12. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

13. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ Κύριε, καιρὸς εὐδοκίας.

14. Ὁ Θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

15. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

16. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

17. Εἰσάκουσόν μου Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

18. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

19. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

20. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με,

21. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

22. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

23. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

24. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

25. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

26. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

27. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

28. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν· καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

29. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

30. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, ἡ σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

31. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

32. Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.

33. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν, ἐκζητήσατε τὸν Θεὸν καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

34. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

35. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.

36. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν.

37 Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

ΨΑΛΜ. ό. 70.

Εἰς τὸ τέλος, τῷ Δαβίδ· εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον.

1 Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

2. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

3. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι, εὖγε, εὖγε.

4. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

5. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεὸς βοήθησόν μοι.

6. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε μὴ χρονίσῃς.

ΨΑΛΜ. οα. 71. } { Ἑωθιναὶ εὐχαί.

Τῷ Δαβίδ, ψαλμὸς τῶν υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις.

ἘΠΙ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με.

2. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.

3. Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

4. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου Κύριε, Κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου.

5. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.

6. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός.

7. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

8. Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

9. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό. Λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν, κατα-

διώξατε

διώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

10. Ὁ Θεός μου μὴ μακρύνῃς ἀπ' ἐμοῦ, ὁ Θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες.

11. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.

12. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.

13. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου. Ὅτι οὐκ ἔγνων γραμματείας,

14 Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου, Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

15 Ὁ Θεὸς μου ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.

16. Καὶ ἕως γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με. Ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

17. Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου ὁ Θεὸς ἕως τῶν ὑψίστων, ἃ ἐποίησάς μοι μεγαλεῖα, ὁ Θεὸς τίς ὅμοιός σοι;

18. Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.

19. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

20. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεός· ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ.

21. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψαλῶ σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.

22. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

ΨΑΛΜ. οβʹ. 72.

Εἰς Σαλομών· ψαλμὸς τοῦ Δαβίδ.

1 Ὁ Θεὸς τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

2. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

3. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ,

4. Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην.

5. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.

6. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

7. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

8. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.

9. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

10. Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι

δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι.

11. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.

12. Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.

13. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.

14. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν.

15. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός· ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.

16. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.

17. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

18. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.

19. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο.

ΨΑΛΜ. οβʹ. 73. } { Ἑσπεριναὶ εὐχαί.

Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ υἱοῦ Ἰεσσαί. Ψαλμὸς τῷ Ἀσάφ.

Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ.

2. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

3. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.

4. Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.

5. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.

6. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν.

7. Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν· διήλθοσαν εἰς διάθεσιν καρδίας.

8. Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.

9. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

10. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.

11. Καὶ εἶπον, πῶς ἔγνω ὁ Θεός, καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ;

12. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες,

εὐθηνοῦντες, εἰς τὸν αἰῶνα κατέσχον πλούτου. Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου.

13. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.

14. Εἰ ἔλεγον, διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.

15. Καὶ ὑπέλαβον τοῦ γνῶναι· τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου

16. Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.

17. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.

18. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.

19. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

20. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν,

21. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Κτηνώδης ἐγενήθην παρὰ σοί,

22. Κἀγὼ διαπαντὸς μετὰ σοῦ· Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου,

23. Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με

24. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;

25 Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου καὶ ἡ μερίς μου ὁ Θεὸς, εἰς τὸν αἰῶνα.

26. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.

27. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου. Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

ΨΑΛΜ οδ'. 74.

Συνέσεως, τῷ Ἀσάφ.

1 Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;

2. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.

3. Ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.

4. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου.

5. Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου· Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν ἔξοδον ὑπεράνω· Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις

6. Ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρρηξαν αὐτήν.

8. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν, ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

9. Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπιτοαυτὸ, Δεῦτε

καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.

10. Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

11. Ἕως πότε (ὁ Θεὸς) ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

12. Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

13. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

14. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

15. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

16. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

17. Σή ἐστιν ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.

18. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά.

19. Μνήσθητι ταύτης, ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

20. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

21. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς, οἴκων ἀνομιῶν.

22. Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος, πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

23. Ἀνάστα ὁ Θεός, δίκασον τὴν δίκην σου, μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος, ὅλην τὴν ἡμέραν.

24. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.

ΨΑΛΜ. οε. 75. } { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ.

Ἐξομολογησόμεθά σοι ὁ Θεός, ἐξομολογησόμεθά σοι,

2. Καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου,

3. Ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ.

4. Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· διάψαλμα. ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.

5. Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦτε κέρας.

6 Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

7. Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων,

8. Ὅτι ὁ Θεὸς κριτής ἐστι· Τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ·

9. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο.

10. Πλὴν

10 Πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

11 Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.

12 Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.

ΨΑΛΜ. οϛ'. 76.

Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

2 Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

3 Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν, καὶ πόλεμον.

4 Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.

5 Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου τῶν χειρῶν αὐτῶν.

6 Ἀπὸ ἐπιτιμήσεώς σου ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.

7 Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου.

8 Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν

9 Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. διάψαλμα.

10 Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

11 Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ.

12 Καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

ΨΑΛΜ. οζ'. 77.

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ, ψαλμὸς τῷ Ἀσάφ.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.

2 Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.

3 Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. διάψαλμα.

4 Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου· ἐταράχθην καὶ οὐκ ἐλάλησα.

5 Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην.

6 Καὶ ἐμελέτησα, νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου.

7 Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθή-

σει τοῦ εὐδοκῆσαι ἔτι;

8 Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει, συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;

9 Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; διάψαλμα.

10 Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

11 Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

12 Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου· καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.

13 Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

14 Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου,

15 Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.

16 Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι.

17 Πλῆθος, ἦχος ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται,

18 Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

19 Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

20 Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

ΨΑΛΜ. οζ΄. 78. } { Ἑσπεριναὶ εὐχαί.

Συνέσεως, τῷ Ἀσάφ.

Προσέχετε λαός μου τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.

2 Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς.

3 Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, καὶ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

4 Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν.

5 Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν,

6 Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα. Υἱοὶ τεχθησόμενοι,

7 Καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

8 Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.

9 Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα. Γενεὰ ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

10 Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.

11 Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.

12 Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.

13 Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.

14 Διέρρηξε θάλασσαν, καὶ διήγαγεν αὐτούς, παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.

15 Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

16 Διέρρηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.

17 Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.

18 Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ, παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.

19 Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

20 Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπον, μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;

21 Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ.

22 Διὰ τοῦτο ἤκουσε Κύριος, καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.

23 Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.

24 Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε.

25 Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.

26 Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

27 Ἀπῆρεν Νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ Λίβα.

28 Καὶ ἔβρεξεν ἐπ᾽ αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.

29 Καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.

30 Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.

31 Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ᾽ αὐτούς. Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.

32 Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ.

33 Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.

34 Ὅταν ἀπέκτεινεν αὐτούς,

τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν.

35 Καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.

36 Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.

37 Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.

38 Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ.

39 Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.

40 Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον.

41 Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ; παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ.

42 Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.

43 Καὶ οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.

44 Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.

45 Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.

46 Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς· καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.

47 Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.

48 Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.

49 Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.

50 Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν, καὶ ὀργὴν, καὶ θλῖψιν, ἀποστολὴν δι᾽ ἀγγέλων πονηρῶν.

51 Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν· καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.

52 Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ· ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.

53 Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

54 Καὶ ὡδήγησεν αὐτοὺς ἐπ᾽ ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

55 Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

56 Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.

57 Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

58 Καὶ

58 Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν.

59 Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

60 Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.

61 Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλὼμ, σκήνωμα ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.

62 Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν.

63 Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

64 Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.

65 Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.

66 Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου.

67 Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

68 Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο.

69 Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε.

70 Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ ἐν τῇ γῇ, ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

71 Καὶ ἐξελέξατο Δαυῒδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.

72 Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.

73 Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

ΨΑΛΜ. οθ'. 79. } { Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς τῷ Ἀσάφ.

Ὁ Θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον.

2 Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

3 Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.

4 Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

5 Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;

6 Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

7 Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

8 Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν

ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

9 Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

10 Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

11 Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν. Ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.

12 Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

13 Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὀνείδισάν σε Κύριε.

14 Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι, ὁ Θεός, εἰς τὸν αἰῶνα. Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

ΨΑΛΜ. π'. 80.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμός.

Ὁ Ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι,

2 Ἐναντίον Ἐφραῒμ καὶ Βενιαμὶν καὶ Μανασσῆ. Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ, εἰς τὸ σῶσαι ἡμᾶς.

3 Ὁ Θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

4 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;

5 Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.

6 Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.

7 Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

8 Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.

9 Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν.

10 Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.

11 Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.

12 Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;

13 Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.

14 Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε· καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.

15 Καὶ

15 Καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

16 Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

17 Γενηθήτω ἡ χείρ σου ἐπ᾽ ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

18 Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

19 Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

ΨΑΛΜ. πα΄. 81.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Ἀσάφ.

Ἀγαλλιᾶσθε τῷ Θεῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.

2 Λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

3 Σαλπίσατε ἐν νεομηνίᾳ, σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.

4 Ὅτι πρόσταγμα τῷ Ἰσραήλ ἐστι, καὶ κρίμα τῷ Θεῷ Ἰακώβ.

5 Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου· γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.

6 Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ· αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

7 Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε, ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος· διάψαλμα.

8 Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.

9 Ἄκουσον λαός μου καὶ διαμαρτύρομαί σοι· Ἰσραὴλ ἐὰν ἀκούσῃς μου.

10 Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.

11 Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου· πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό.

12 Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.

13 Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

14 Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη.

15 Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα· καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.

16 Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.

17 Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

ΨΑΛΜ.

ΨΑΛΜ. πβ΄. 82. } { Ἑσπεριναὶ εὐχαί.

Ψαλμὸς τῷ Ἀσάφ.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

2 Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

3 Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

4 Ἐξέλεσθε πένητα καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

5 Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

6 Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες.

7 Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

10 Ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

ΨΑΛΜ. πγ΄. 83.

Ὠδὴ ψαλμοῦ, τῷ Ἀσάφ.

Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς ὁ Θεός.

2 Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

3 Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

4 Εἶπαν, δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.

5 Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπιτοαυτὸ, κατὰ σοῦ διαθήκην διέθεντο.

6 Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται. Μωὰβ καὶ οἱ Ἀγαρηνοί.

7 Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ, ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον.

8 Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. διάψαλμα.

9 Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβὶμ ἐν τῷ χειμάρρῳ Κισῶν.

10 Ἐξωλοθρεύθησαν ἐν Ἀενδὼρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

11 Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ, καὶ Ζεβεὲ καὶ Ζαλμανάν. Πάντας τοὺς ἄρχοντας αὐτῶν.

12 Οἵτινες εἶπον, κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

13 Ὁ Θεός μου θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.

14 Ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμὸν, ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη.

15 Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ

ἐν

τῇ ὀργῇ σου συνταράξεις αὐτούς.

16 Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου Κύριε.

17 Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν.

18 Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

ΨΑΛΜ. πδ'. 84.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.

2 Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

3 Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

4 Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. διάψαλμα.

5 Μακάριος ἀνὴρ ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.

6 Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.

7 Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

8 Κύριε ὁ Θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. διάψαλμα.

9 Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεός· καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

10 Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

11 Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου, μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

12 Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει· Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

13 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ΨΑΛΜ. πε'. 85.

Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός.

Εὐδόκησας Κύριε τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.

1 Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

3 Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

4 Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον

τὸν θυμόν σου ἀφ᾽ ἡμῶν.

5 Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν, ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

6 Ὁ Θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

7 Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

8 Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ. Καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ᾽ αὐτόν.

9 Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

10 Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

11 Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

12 Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

13 Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΨΑΛΜ. πε΄. 86.

Προσευχὴ τοῦ Δαβίδ.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

2 Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

3 Ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.

4 Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

5 Ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιεικής, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

6 Ἐνώτισαι Κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

7 Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι ἐπήκουσάς μου.

8 Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

9 Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε· καὶ δοξάσουσι τὸ ὄνομά σου.

10 Ὅτι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος.

11 Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

12 Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

13 Ὅτι τὸ ἔλεός σου μέγα ἐπ᾽ ἐμέ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

14 Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ᾽ ἐμέ, καὶ συναγωγὴ

κρα-

κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

15 Καὶ σὺ Κύριε ὁ Θεός μου οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

16 Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

17 Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ Κύριος ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

ΨΑΛΜ. πζ΄. 87.

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς.

ΟἹ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

2 Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

3 Μνησθήσομαι Ῥαὰβ, καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

4 Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.

5 Μήτηρ Σιὼν ἐρεῖ, ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.

6 Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ.

7 Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

ΨΑΛΜ. πη΄. 88.

Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἰμὰν τῷ Ἰσραηλίτῃ.

ΚΥριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου· κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου·

2 Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

3 Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος.

4 Ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

5 Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

6 Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. διάψαλμα.

7 Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

8 Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην.

9 Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

10 Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;

11 Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

12 Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

13 Κἀγὼ πρὸς σὲ Κύριε ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

14 Ἱνατί Κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

15 Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

16 Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

17 Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

18 Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

ΨΑΛΜ. πθ΄. 8[9] } { Ἐπευκταί εὐχαί.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι. Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

2 Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.

3 Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαβὶδ τῷ δούλῳ μου.

4 Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου. Καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

5 Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

6 Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;

7 Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

8 Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

9 Κύριε ὁ Θεὸς τῶν δυνάμεων τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

10 Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

11 Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.

12 Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ, τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.

13 Τὸν Βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

14 Σὸς ὁ βραχίων μετὰ δυναστείας. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.

15 Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.

16 Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται.

17 Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.

18 Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.

19 Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.

20 Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ δυνατόν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

21 Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

22 Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.

23 Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.

24 Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.

25 Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.

26 Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.

27 Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.

28 Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

29 Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.

30 Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

31 Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν·

32 Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.

33 Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν· οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.

34 Οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι.

Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ. Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου.

36 Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. διάψαλμα.

37 Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν χριστόν σου.

38 Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.

39 Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ· ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.

40 Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.

41 Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

42 Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.

43 Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν· τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥηξας.

44 Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην.

45 Ἕως πότε Κύριε ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;

46 Μνήσθητι τίς μου ἡ ὑπόστασις· μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

47 Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; διάψαλμα.

48 Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα Κύριε; ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου.

49 Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.

50 Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

ΨΑΛΜ. πθ΄. 90. — Ἑωθιναὶ εὐχαί.

Προσευχὴ τῷ Μωϋσῇ ἀνθρώπῳ τοῦ Θεοῦ.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

2 Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

3 Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν; καὶ εἶπας· ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων.

4 Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε. Καὶ φυλακὴ ἐν νυκτί.

5 Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι.

6 Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

7 Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

8 Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

9 Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.

10 Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν

ἐν

ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος, ὅτι ἐπῆλθε πρᾳότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

11 Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου, ἐξαριθμήσασθαι;

12 Τὴν δεξιάν σου οὕτως γνώρισόν μοι, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

13 Ἐπίστρεψον Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

14 Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

15 Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.

16 Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

17 Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

ΨΑΛΜ. ϟα΄. 91.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ὁ Κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

2 Ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ μου, καὶ καταφυγή μου ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

3 Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.

4 Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

5 Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. Ἀπὸ βέλους πετομένου ἡμέρας.

6 Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

7 Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

8 Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

9 Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου.

10 Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.

11 Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

12 Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

13 Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

14 Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

15 Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν.

16 Μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

ΨΑΛΜ. ϟβ΄. 92.

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε.

2 Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

3 Ἐν δεκαχόρδῳ, ψαλτηρίῳ μετ᾽ ᾠδῆς ἐν κιθάρᾳ.

4 Ὅτι εὔφρανάς με Κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

5 Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

6 Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

6 Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· σὺ δὲ Ὕψιστος εἰς τὸν αἰῶνα Κύριε.

8 Ὅτι ἰδοὺ οἱ ἐχθροί σου Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

9 Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

10 Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

11 Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

12 Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

13 Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι· καὶ εὐπαθοῦντες ἔσονται.

14 Τοῦ ἀναγγεῖλαι· ὅτι εὐθὺς Κύριος, ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

ΨΑΛΜ. ϟγ΄. 93. } { Ἑσπεριναὶ εὐχαί.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου ὅτε κατῴκισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαβίδ.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

2 Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

3 Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

4 Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν· ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

5 Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

6 Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα, τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜ.

ΨΑΛΜ. ϞΔ'. 94.

Ψαλμὸς τῷ Δαβὶδ τετράδι Σαββάτου.

1 Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο.

2. Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

3. Ἕως πότε ἁμαρτωλοὶ Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

4. Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

5. Τὸν λαόν σου Κύριε ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

6. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν.

7. Καὶ εἶπαν· οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.

8. Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε;

9. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν, οὐχὶ κατανοεῖ;

10. Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν;

11. Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.

12. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

13. Τοῦ πραῢναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

14. Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

15. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. διάψαλμα.

16. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις; ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν;

17. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.

18. Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι.

19. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου ηὔφραναν τὴν ψυχήν μου.

20. Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι;

21. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσονται.

22. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγὴν, καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.

23. Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός.

ΨΑΛΜ. ϟε'. 95. } Ἑσπεριναὶ εὐχαί.

Αἶνος ᾠδῆς Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

2. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

3. Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

4. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσι.

5. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

6. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

7. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

8. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. Ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ.

9. Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν· ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου.

10. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα· ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

11. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου;

ΨΑΛΜ. ϟϛ'. 96.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν· ἀνεπίγραφος παρ' Ἑβραίοις.

1 Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

2. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ· εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

3. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

4. Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς.

5. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια· ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.

6. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

7. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

8. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.

9. Προσκυνή-

9. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

10. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε, καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

11. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς.

12. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ, ἀπὸ προσώπου Κυρίου.

13. Ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

ΨΑΛΜ. ϟϛ'. 97.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται· ἀνεπίγραφος παρ' Ἑβραίοις.

1 Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.

2. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

3. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

4. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

5. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς.

6. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

7. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ.

8. Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών· καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου Κύριε.

9. Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.

10. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρόν· φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς.

11. Φῶς ἀνέτειλε τῷ δικαίῳ· καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

12. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

ΨΑΛΜ. ϟζ'. 98. — Ἑσπεριναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.

2. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

3. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

4. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

5. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.

6. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ.

7. Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης, ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου.

8. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

9. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό, τὰ ὄρη ἀγαλλιάσονται, ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.

10. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

ΨΑΛΜ. ϞΘ΄. 99.

Ψαλμὸς τῷ Δαβίδ.

1 ΚΥριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, σαλευθήτω ἡ γῆ.

2 Κύριος ἐν Σιὼν μέγας, ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

3. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι·

4. Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

5. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

6. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν.

7. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς· ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ ἃ ἔδωκεν αὐτοῖς.

8. Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν, ὁ Θεὸς σὺ εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.

9. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

ΨΑΛΜ. Ρ΄. 100.

Ψαλμὸς τῷ Δαβὶδ εἰς ἐξομολόγησιν.

1 ἈΛαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ· δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ· εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

2. Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς. Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

3. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς

αὐλάς

αὐλὰς αὐτοῦ ἐν ὕμνοις, ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.

4. Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

ΨΑΛΜ. ρα'. 101.

Ψαλμὸς τῷ Δαβίδ.

1 Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε, ψαλῶ.

2. Καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.

3. Πότε ἥξεις πρός με; διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.

4. Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα, οὐκ ἐκολλήθη μοι.

5. Καρδία σκαμβὴ ἐκκλίνει ἀπ' ἐμοῦ, τὸν πονηρὸν οὐκ ἐγίνωσκον.

6. Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

7. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

8. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.

9. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

10. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

11. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

ΨΑΛΜ. ρβ'. 102. } { Ἑωθιναὶ εὐχαί.

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

2. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

3. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

4. Ἐπλήγην, ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

5. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

6. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

7. Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

8. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαι-

νοῦντές με κατ' ἐμοῦ ὤμνυον.

9. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφα-
γον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐ-
κίρνων·

10. Ἀπὸ προσώπου τῆς ὀργῆς σου
καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρ-
ραξάς με.

11. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ
ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος
ἐξηράνθην.

12. Σὺ δὲ Κύριε εἰς τὸν αἰῶνα
μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς
γενεὰν καὶ γενεάν.

13. Σὺ ἀναστὰς οἰκτειρήσεις
τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆ-
σαι αὐτήν, ὅτι ἥκει καιρός.

14. Ὅτι εὐδόκησαν οἱ δοῦλοί
σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν
αὐτῆς οἰκτειρήσουσι.

15. Καὶ φοβηθήσονται τὰ ἔθνη
τὸ ὄνομα Κυρίου, καὶ πάντες οἱ βα-
σιλεῖς τῆς γῆς τὴν δόξαν
σου.

16. Ὅτι οἰκοδομήσει Κύριος
τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ
αὐτοῦ.

17. Ἐπέβλεψεν ἐπὶ τὴν προσ-
ευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδέ-
νωσε τὴν δέησιν αὐτῶν.

18. Γραφήτω αὕτη εἰς γενεὰν
ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέ-
σει τὸν Κύριον.

19. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου
αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν
γῆν ἐπέβλεψε·

20. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ
τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς
υἱοὺς τῶν τεθανατωμένων.

21. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ
ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ
ἐν Ἱερουσαλήμ.

22. Ἐν τῷ συναχθῆναι λα-
οὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δου-
λεύειν τῷ Κυρίῳ.

23. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ
ἰσχύος αὐτοῦ, τὴν ὀλιγότητα τῶν
ἡμερῶν μου ἀνάγγειλόν μοι.

24. Μὴ ἀναγάγῃς με ἐν ἡμί-
σει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ
ἔτη σου.

25. Κατ' ἀρχὰς σὺ Κύριε τὴν
γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν
χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

26. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ
διαμένεις· καὶ πάντες ὡς ἱμάτιον
παλαιωθήσονται.

27. Καὶ ὡσεὶ περιβόλαιον ἑλί-
ξεις αὐτούς, καὶ ἀλλαγήσονται, σὺ
δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλεί-
ψουσιν.

28. Οἱ υἱοὶ τῶν δούλων σου κα-
τασκηνώσουσι, καὶ τὸ σπέρμα αὐ-
τῶν εἰς τὸν αἰῶνα κατευθυνθή-
σεται.

ΨΑΛΜ. ρβ΄. 103.

Ψαλμὸς τῷ Δαβίδ.

1 Εὐλόγει ἡ ψυχή μου τὸν Κύρι-
ον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄ-
νομα τὸ ἅγιον αὐτοῦ.

2. Εὐλόγει ἡ ψυχή μου τὸν Κύ-
ριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς
ἀνταποδόσεις αὐτοῦ.

3. Τὸν εὐιλατεύοντα πάσαις ταῖς
ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς
νόσους σου.

4. Τὸν λυτρούμενον ἐκ φθορᾶς
τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν
ἐλέει καὶ οἰκτιρμοῖς.

5. Τὸν

5. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

6. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

7. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

8. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

10. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

11. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος, τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

12. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

13. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

14. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

15. Ἄνθρωπος ὡσεὶ χόρτος, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

16. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

17. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτὸν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν,

18. Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

19. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

20. Εὐλογεῖτε τὸν Κύριον πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

21. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

22. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜ. ρδ'. 104. — Ἑσπεριναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ, ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω.

2. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.

3. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

4. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐ-

τοῦ

τοῦ πυρὸς φλόγα.

5. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλυδωνίζεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

6. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

7. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

8. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά.

9. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

10. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

11. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

12. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

13. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

14. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

15. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

16. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.

17. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι· τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

18. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

19. Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

20. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

21. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

22. Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

23. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

24. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

25. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός. Ζῶα μικρὰ μετὰ μεγάλων.

26. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

27. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον.

28. Δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντός σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος.

29. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

30. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

31. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

32. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

33. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

34. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου· ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

35. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς· εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜ. ρέ. 105. } { Ἑωθιναὶ εὐχαί.

Ἀλληλούϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ· ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.

2. Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

3. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ· εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.

4. Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε· ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.

5. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

6. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

7. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

8. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς.

9. Ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

10. Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.

11. Λέγων, σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν.

12. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.

13. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.

14. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.

15. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

16. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.

17. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

18. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.

19. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ,

αὐτοῦ, τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.

20. Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτὸν, ἄρχων λαοῦ καὶ ἀφῆκεν αὐτόν.

21. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.

22. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

23. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

24. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

25. Μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ· τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

26. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ.

27. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.

28 Ἐξαπέστειλε σκότος καὶ ἐσκότασεν· ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

29. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

30. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν.

31. Εἶπε, καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες, ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

32. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

33. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

34. Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός. καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

35. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

36. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

37. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ᾽ αὐτούς.

38. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

39. Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

40. Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

41. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ· τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

42. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

43. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν.

44. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. Ἀλληλούϊα.

ΨΑΛΜ. ρε΄. 106. } { Ἐσπεριναὶ εὐχαί.

Ἀλληλούϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

3. Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

4. Μνήσθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου.

5. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

6. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.

7. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου, καὶ παρεπίκραναν, ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

8. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.

9. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ.

10. Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.

11. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς· εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

12. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.

13. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

14. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

15. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.

16. Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου.

17. Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

18. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

19. Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ.

20. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

21. Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ.

22. Θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

23. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ. Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

24. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

25. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

26. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

27. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

28. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν.

29. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

30. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις.

31. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

32. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς.

33. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.

34. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε Κύριος αὐτοῖς.

35. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν.

36. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον· καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν, τοῖς δαιμονίοις.

37. Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν· καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι.

38. Καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

39. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.

40. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.

41. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.

42. Πλεονάκις ἐῤῥύσατο αὐτούς· αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν· καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

43. Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν.

44. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ· καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.

45. Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

46. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαός· γένοιτο, γένοιτο.

ΨΑΛΜ.

ΨΑΛΜ. ρζ΄. 107. } { Ἑσπεριναὶ εὐχαί.

Ἀλληλούϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.

3. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς· ἀπὸ Ἀνατολῶν, καὶ Δυσμῶν, καὶ Βοῤῥᾶ, καὶ θαλάσσης.

4. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον.

5. Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

6. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς.

7. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

8. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

9. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

10. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

11. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν.

12. Καὶ ἐ[illegible] ἡ καρδία αὐτῶν, ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.

13. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

14. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν.

15. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

16. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.

17. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

18. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

19. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

20. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

21. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

22. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

23. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

24. Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

25. Εἶπε

25. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

26. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων· ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.

27. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

28. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

29. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.

30. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.

31. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

32. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

33. Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν.

34. Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

35. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

36. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας.

37. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος.

38. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

39. Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.

40. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

41. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς.

42. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

43. Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου;

ΨΑΛΜ. ρή. 108.

Ὠδὴ ψαλμοῦ τῷ Δαβίδ.

1 Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

2. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

3. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

4. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

5. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

6. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

7. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

8. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραῒμ ἀντίληψις τῆς κεφαλῆς μου.

9. Ἰούδας βασιλεύς μου· Μωὰβ λέβης τῆς ἐλπίδος μου· ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

10. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

11. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

12. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

13. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

ΨΑΛΜ. ρθ'. 109.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

1 Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

2. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ· καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.

3. Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην.

4. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

5. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

6. Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

7. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

8. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

9. Σαλευόμενοι μετανιστάσθωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

10. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

11. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

12. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

13. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

14. Γενηθήτωσαν ἐνώπιον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

15. Ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ, τοῦ θανατῶσαι.

16. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν

γίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.

17. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

18. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται.

19. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

20. Καὶ σὺ Κύριε, Κύριε ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.

21. Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

22. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

23. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

24. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς, εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

25. Βοήθησόν μοι Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

26. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ Κύριε ἐποίησας αὐτήν.

27. Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν· ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

28. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

29. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν· ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

ΨΑΛΜ. ρί. 110.

Ψαλμὸς τῷ Δαβίδ.

1 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

2. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

3. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

4. Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

5. Κύριος ἐκ δεξιῶν σου, συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.

6. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

7. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

ΨΑΛΜ.

ΨΑΛΜ. ρια΄. 111.

Ἀλληλουΐα.

1 Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

2. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

3. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

4 Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος.

5. Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

6. Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.

7. Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ.

8. Ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.

9. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

10. Ἀρχὴ σοφίας φόβος Κυρίου. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΨΑΛΜ. ριβ΄. 112.

Ἀλληλουΐα.

1 Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

2. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται.

3. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

4. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.

5. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.

6. Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται· εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

7. Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.

8. Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

9. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

10. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται.

ΨΑΛΜ. ριγ΄. 113.

Ἀλληλούϊα.

1 ΑἸνεῖτε παῖδες Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου.

2. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

3. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα Κυρίου.

4. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

5. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ;

6. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

7. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

8. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

ΨΑΛΜ. ριδ΄. 114. — Ἑσπεριναὶ εὐχαί.

Ἀλληλούϊα.

ἘΝ ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου·

Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

3. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

4. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

5. Τί σοί ἐστι θάλασσα ὅτι ἔφυγες; καὶ σὺ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

6. Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

7. Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ.

8. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

ΨΑΛΜ. ριε΄. 115.

1 ΜΗ ἡμῖν Κύριε μὴ ἡμῖν, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου.

2. Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

3. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε.

4. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

5. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται.

6. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται.

7. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν;

τήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.

8. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

9. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.

10. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

11. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.

12. Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς· εὐλόγησε τὸν οἶκον Ἰσραήλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.

13. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

14. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.

15. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

16. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

17. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.

18. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. εἰς' 116. } { Ἑωθιναὶ εὐχαί.

Ἀλληλούϊα.

Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

2. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

3. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με.

4. Θλίψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου.

5. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

6. Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με.

7. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.

8. Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

9. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

10. Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης.

11. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;

12. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

13. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

14. Ὦ Κύριε ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου, διέῤῥηξας τοὺς δεσμούς μου.

15. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

16. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ.

ΨΑΛΜ. ριζ'. 117.

Ἀλληλούϊα.

1 Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

2. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

ΨΑΛΜ. ριη'. 118.

Ἀλληλούϊα.

1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

3. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

4. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

5. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

6. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.

7. Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

8. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.

9. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.

10. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

11. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

12. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

13. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.

14. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

15. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων· δεξιὰ Κυρίου ἐποίησε δύναμιν.

16. Δεξιὰ Κυρίου ὕψωσέ με, δεξιὰ Κυρίου ἐποίησε δύναμιν.

17. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.

18. Παιδεύων

18. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.

19. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.

20. Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

21. Ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

22. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

23. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

24. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

25. Ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή.

26. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.

27. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

28. Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε.

29. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

30. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜ. ριθʹ. 119. } { Ἑσπέριναὶ εὐχαί.

Ἀλληλούϊα.

Aleph.

Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

2. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

3. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

4. Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

5. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

6. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

7. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

8. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Beth.

9. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

10. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

11. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

12. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

13. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

14. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

15. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

16. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

GIMEL.

17. Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

18. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

19. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

20. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

21. Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

22. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

23. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

24. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

DALETH.

25. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

26. Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

27. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

28. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

29. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

30. Ὁδὸν ἀληθείας ᾑρετισάμην, τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

31. Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε, μή με καταισχύνῃς.

32. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

HE } { Ἑωθιναὶ εὐχαί.

Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

34. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

35. Ὁδήγη-

35. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

36. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

37. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

38. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

39. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

40. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Vav.

41. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

42. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

43. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

44. Καὶ φυλάξω τὸν νόμον σου διαπαντός, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

45. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

46. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

47. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα.

48. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν τοῖς δικαιώμασί σου.

Zain.

49. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

50. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

51. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

52. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, καὶ παρεκλήθην.

53. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

54. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου.

55. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

56. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Heth.

57. Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

58. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ τῇ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

59. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

60. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

61. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

62. Μεσονύ-

62. Μεσονύκτιον ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

63. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

64. Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

ΤΕΤΗ.

65. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου Κύριε, κατὰ τὸν λόγον σου.

66. Χρηστότητα, καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

67. Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

68. Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

69. Ἐπληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

70. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

71. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

72. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

ΙΟD. } { Ἑσπέριναι εὐχαί.

ΑΙ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με, συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

74. Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

75. Ἔγνων Κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

76. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

77. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.

78. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

79. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

80. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί μου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

CΑΡΗ.

81. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

82. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, πότε παρακαλέσεις με;

83. Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

84. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

85. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου Κύριε.

86. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια, ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

87. Παραβραχὺ

87 Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

88 Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

LAMED.

89 Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

90 Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

91 Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

92 Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

93 Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

94 Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

95 Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα.

96 Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

MEM.

97 Ὡς ἠγάπησα τὸν νόμον σου Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί.

98 Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμοί ἐστιν.

99 Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

100 Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

101 Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

102 Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

103 Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

104 Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

NUN. } { Ἐωθιναὶ εὐχαί.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.

106 Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

107 Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

108 Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

109 Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

110 Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

111 Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου ἐστίν.

112 Ἔκλινα τὴν καρδίαν μου τοῦ

ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν.

Sambch.

113 Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

114 Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

115 Ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

116 Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

117 Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

118 Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

119 Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

120 Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ain.

121 Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

122 Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

123 Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

124 Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

125 Δοῦλός σού εἰμι ἐγώ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

126 Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου.

127 Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

128 Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατευθυνόμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Rhe.

129 Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

130 Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

131 Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

132 Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

133 Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

134 Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

135 Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

136 Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Zade.

Ζαδε.

137 Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

138 Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

139 Ἐξέτηξέ με ὁ ζῆλος σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

140 Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

141 Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

142 Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

143 Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου.

144 Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι.

Coph. } { Ἐκτεναὶ εὐχαί.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

146 Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

147 Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

148 Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου.

149 Τῆς φωνῆς μου ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με.

150 Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

151 Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

152 Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Res.

153 Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

154 Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

155 Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

156 Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε, κατὰ τὸ κρίμα σου ζῆσόν με.

157 Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

158 Εἶδον ἀσυνθετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

159 Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

160 Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Schin.

161 Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

162 Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

163 Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα.

164 Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

165 Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

166 Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

167 Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

168 Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου Κύριε.

Tav.

169 Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

170 Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

171 Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

172 Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

173 Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.

174 Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι.

175 Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

176 Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

ΨΑΛΜ. ρκ΄. 120. — Ἑωθιναὶ εὐχαί.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΠΡὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

2 Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας.

3 Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

4 Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.

5 Πολλὰ παρῴκησεν ἡ ψυχή μου· μετὰ τῶν μισούντων τὴν εἰρήνην.

6 Ἤμην εἰρηνικὸς, ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

ΨΑΛΜ. ρκα'. 121.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

2 Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

3 Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

4 Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

5 Κύριος φυλάξοι σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

6 Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

7 Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος.

8 Κύριος φυλάξοι τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. ρκβ'. 122.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα.

2 Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ.

3 Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

4 Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

5 Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

6 Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

7 Γενέσθω εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

8 Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

9 Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

ΨΑΛΜ. ρκγ'. 123.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

2 Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

3 Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

4 Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΨΑΛΜ. ρκδ'. 124.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ·

εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς.

2 Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς.

3 Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν.

4 Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

5 Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

6 Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.

7 Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

ΨΑΛΜ. ρκε'. 125.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΟἹ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

2 Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

3 Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων· ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

4 Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

5 Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜ. ρκς'. 126. } { Ἐπάνειναι εὐχαί.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ἘΝ τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

2 Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

3 Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν.

4 Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

5 Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ Νότῳ.

6 Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.

7 Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν, ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

ΨΑΛΜ. ρκζ'. 127.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ἘΑν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

2 Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν,

πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

3 Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

4 Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

5 Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

6 Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ ἐν πύλαις.

ΨΑΛΜ. ρκη΄. 128.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

2 Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

3 Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

4 Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου.

5 Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

6 Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

7 Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜ. ρκθ΄. 129.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ.

2 Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

3 Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

4 Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

5 Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

6 Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη.

7 Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

ΨΑΛΜ. ρλ΄. 130.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.

2 Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

3 Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται;

4 Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν, ἕνεκεν τοῦ ὀνόματός σου.

5 Ὑπέμεινά σε Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

6 Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον· ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας.

7 Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον· ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις.

8 Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜ. ρλα'. 131.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου.

2 Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

3 Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

4 Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. ρλβ'. 132. } { Ἑωθιναὶ εὐχαί.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Μνήσθητι Κύριε τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.

2 Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.

3 Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.

4 Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν· καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου

5 Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

6 Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

7 Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ· προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

8 Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

9 Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

10 Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

11 Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

12 Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

13 Ἐὰν φυλάξονται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου, ταῦτα ἃ διδάξω αὐτούς· καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

14 Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

15 Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω ὅτι ᾑρετισάμην αὐτήν.

16 Τὴν

16 Τὴν θήραν αὐτῆς εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.

17 Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

18 Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

19 Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ΨΑΛΜ. ρλγ'. 133.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνόν; ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

2 Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρὼν τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

3 Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.

4 Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. ρλδ'. 134.

Ὠδὴ τῶν ἀναβαθμῶν.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.

2 Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν, ἐν ταῖς νυξίν.

3 Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

4 Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

ΨΑΛΜ. ρλε'. 135.

Ἀλληλούϊα.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον.

2 Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

3 Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθὸς Κύριος, ψάλατε τῷ ὀνόματι αὐτοῦ ὅτι καλόν.

4 Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

5 Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.

6 Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.

7 Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν, ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.

8 Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου, ἀπὸ ἀνθρώπου ἕως κτήνους.

9 Ἐξαπέστειλε σημεῖα καὶ τέρατα, ἐν μέσῳ σου Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.

10 Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

11 Τὸν Σηὼν βασιλέα τῶν Ἀ-
μοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς
Βασὰν, καὶ πάσας τὰς βασιλείας
Χαναάν.
12 Καὶ ἔδωκε τὴν γῆν αὐτῶν
κληρονομίαν, κληρονομίαν Ἰσρα-
ὴλ λαῷ αὐτοῦ.
13 Κύριε τὸ ὄνομά σου εἰς τὸν
αἰῶνα, καὶ τὸ μνημόσυνόν σου
εἰς γενεὰν καὶ γενεάν.
14 Ὅτι κρινεῖ Κύριος τὸν λα-
ὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ
παρακληθήσεται.
15 Τὰ εἴδωλα τῶν ἐθνῶν ἀρ-
γύριον, καὶ χρυσίον, ἔργα χειρῶν
ἀνθρώπων.
16 Στόμα ἔχουσι καὶ οὐ λαλήσου-
σιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄ-
ψονται.
17 Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθή-
σονται· οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ
στόματι αὐτῶν.
18 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ
ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ
πεποιθότες ἐπ' αὐτοῖς.
19 Οἶκος Ἰσραὴλ εὐλογήσατε
τὸν Κύριον· οἶκος Ἀαρὼν εὐλο-
γήσατε τὸν Κύριον.
20 Οἶκος Λευὶ εὐλογήσατε τὸν
Κύριον· οἱ φοβούμενοι τὸν Κύριον
εὐλογήσατε τὸν Κύριον.
21 Εὐλογητὸς Κύριος ἐκ
Σιὼν, ὁ κατοικῶν Ἱερουσαλήμ.

ΨΑΛΜ. ρλς'. 136. — Ἑσπεριναὶ εὐχαί.

Ἀλληλούϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι
ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
2 Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν
θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
3 Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν
κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
4 Τῷ ποιήσαντι θαυμάσια
μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶ-
να τὸ ἔλεος αὐτοῦ.
5 Τῷ ποιήσαντι τοὺς οὐρανοὺς
ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
6 Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ
τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
7 Τῷ ποιήσαντι φῶτα μεγά-
λα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
8 Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς
ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
9 Τὴν σελήνην καὶ τοὺς ἀστέ-
ρας εἰς ἐξουσίαν τῆς νυκτὸς, ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
10 Τῷ πατάξαντι Αἴγυπτον
σὺν τοῖς πρωτοτόκοις αὐτῶν,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
11 Καὶ ἐξαγαγόντι τὸν Ἰ-
σραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς
τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
12 Ἐν χειρὶ κραταιᾷ καὶ ἐν
βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ.
13 Τῷ καταδιελόντι τὴν ἐρυ-
θρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
14 Καὶ διαγαγόντι τὸν Ἰ-
σραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς
τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
15 Καὶ ἐκτινάξαντι Φαραὼ
καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν
ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.

16 Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

17 Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

18 Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

19 Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

20 Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

21 Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

22 Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

23 Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

24 Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

25 Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

26 Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

27 Ἐξομολογεῖσθε Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜ. ρλϛ΄. 137.

Τῷ Δαβίδ, διὰ Ἱερεμίου.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

2 Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

3 Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

4 Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

5 Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου.

6 Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ· ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

7 Μνήσθητι Κύριε τῶν υἱῶν Ἐδώμ, τὴν ἡμέραν Ἱερουσαλήμ· τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς.

8 Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

9 Μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

ΨΑΛΜ. ρλζ΄. 138.

Ψαλμὸς τῷ Δαβίδ, Ἀγγαίου καὶ Ζαχαρίου.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι.

2 Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου, προσκυ-

νήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου· ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν, τὸ ὄνομα τὸ ἅγιόν σου.

3 Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου, πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.

4 Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.

5 Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου.

6 Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

7 Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

8 Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ· Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

ΨΑΛΜ. ρλθ'. 137. } { Ἑωθιναὶ εὐχαί.

Εἰς τὸ τέλος, τῷ Δαβὶδ ψαλμός, Ζαχαρίου ἐν τῇ διασπορᾷ.

ΚΥριε ἐδοκίμασάς με, καὶ ἔγνως με, σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν.

2 Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας καὶ πάσας τὰς ὁδούς μου προεῖδες.

3 Ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου· ἰδοὺ Κύριε σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.

4 Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

5 Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

6 Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

7 Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

8 Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης.

9 Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

10 Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

11 Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.

12 Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀντιλάβου μου ἐκ γαστρὸς μητρός μου.

13 Ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

14 Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.

15 Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.

16 Ἡμέραι

16 Ἡμέραι πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς.

17 Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

18 Ἐξαριθμήσομαι αὐτούς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.

19 Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ Θεός· ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ.

20 Ὅτι ἐρεῖτε εἰς διαλογισμούς· λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.

21 Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην;

22 Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι.

23 Δοκίμασόν με ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου.

24 Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

ΨΑΛΜ. ρμʹ 140.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ.

Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

2 Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

3 Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· διάψαλμα.

4 Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου.

5 Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι. [διάψαλμα] καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.

6 Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ· ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου.

7 Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.

8 Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου τῷ ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν· διάψαλμα.

9 Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

10 Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν πυρί, καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν.

11 Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

12 Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων.

13 Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

ΨΑΛΜ. ρμά. 141.

Ψαλμὸς τῷ Δαβίδ.

Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

2 Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

3 Θοῦ Κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

4 Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρείας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις· σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

5 Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με.

6 Ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου, ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.

7 Κατεπόθησαν ἐχόμενα πέτρας. οἱ κριταὶ αὐτῶν· ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδυνήθησαν.

8 Ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς· διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

9 Ὅτι πρὸς σὲ Κύριε, Κύριε οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

10 Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι. καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

11 Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

ΨΑΛΜ. ρμβ'. 142. } { Ἑσπεριναὶ εὐχαί.

Συνέσεως τῷ Δαβίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

2 Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

3 Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου· ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

4 Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

5 Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

6 Ἐκέκραξα πρὸς σὲ Κύριε· εἶπα, σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

7 Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

8 Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

9 Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου· ἐμὲ ὑπομένουσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ΨΑΛΜ.

ΨΑΛΜ. ρμγ'. 143.

Ψαλμὸς τῷ Δαβίδ, ὅποτε κατεδίωκεν αὐτὸν Ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ.

ΚΥ'ριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου· εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

2 Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

3 Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου· ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος.

4 Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

5 Ἐμνήσθην ἡμερῶν ἀρχαίων· ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

6 Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

7 Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

8 Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι Κύριε ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

9 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε πρὸς σὲ κατέφυγον.

10 Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου· ὅτι σὺ εἶ ὁ Θεός μου, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

11 Ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με· ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

12 Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός σου εἰμί.

ΨΑΛΜ. ρμδ'. 144. — Ἑωθιναὶ εὐχαί.

Ψαλμὸς τῷ Δαβίδ, πρὸς τὸν Γολιάθ.

ΕΥ'λογητὸς Κύριος ὁ Θεός μου· ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

2 Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου, καὶ ῥύστης μου. Ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα· ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.

3 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν;

4 Ἄνθρωπος ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.

5 Κύριε κλῖνον οὐρανούς καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.

6 Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς.

7 Ἐξα-

7 Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

8 Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.

9 Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

10 Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.

11 Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων· ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

12 Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, κεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

13 Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν.

14 Οἱ βόες αὐτῶν παχεῖς· οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.

15 Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

ΨΑΛΜ. ρμδ´. 145.

Αἴνεσις τοῦ Δαβίδ.

Ὑψώσω σε ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

2 Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

3 Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

4 Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

5 Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

6 Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

7 Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9 Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

10 Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

11 Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.

12 Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

13 Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ. [Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.]

14 Ὑπο-

14 Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

15 Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

16 Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

17 Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

18 Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

19 Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

20 Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

21 Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΨΑΛΜ. ρμς'. 146.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

Αἴνει ἡ ψυχή μου τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

2 Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστι σωτηρία.

3 Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

4 Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

5 Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα.

6 Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

7 Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.

8 Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾷ δικαίους.

9 Κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

10 Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιὼν, εἰς γενεὰν καὶ γενεάν.

ΨΑΛΜ. ρμζ'. 147. } { Ἑσπεριναὶ εὐχαί.

Ἀλληλούϊα.

Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθὸς ψαλμός· τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.

2 Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.

3 Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.

4 Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

5 Μέγας ὁ Κύριος ἡμῶν, καὶ
μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέ-
σεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
6 Ἀναλαμβάνων πραεῖς ὁ
Κύριος. ταπεινῶν δὲ ἁμαρτω-
λοὺς ἕως γῆς.
7 Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξ-
ομολογήσει, ψάλατε τῷ Θεῷ
ἡμῶν ἐν κιθάρᾳ.
8 Τῷ περιβάλλοντι τὸν οὐρανὸν
ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ
γῇ ὑετόν· Τῷ ἐξανατέλλοντι
ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δου-
λείᾳ τῶν ἀνθρώπων.
9 Διδόντι τοῖς κτήνεσι τροφὴν
αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κορά-
κων τοῖς ἐπικαλουμένοις αὐτόν.
10 Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ
ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις
τοῦ ἀνδρὸς εὐδοκεῖ.
11 Εὐδοκεῖ Κύριος ἐν τοῖς
φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλ-
πίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.
12 Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύ-
ριον, αἴνει τὸν Θεόν σου Σιών.
13 Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς
τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς
σου ἐν σοί.
14 Ὁ τιθεὶς τὰ ὅριά σου εἰ-
ρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.
15 Ὁ ἀποστέλλων τὸ λόγιον αὐ-
τοῦ τῇ γῇ· ἕως τάχους δραμεῖται
ὁ λόγος αὐτοῦ.
16 Διδόντος χιόνα αὐτοῦ ὡ-
σεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν
πάσσοντος,
17 Βάλλοντος κρύσταλλον αὐ-
τοῦ ὡσεὶ ψωμοὺς, κατὰ πρόσωπον
ψύχους αὐτοῦ τίς ὑποστήσεται;
18 Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ,
καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦ-
μα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.
19 Ὁ ἀπαγγέλλων τὸν λόγον
αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ
κρίματα αὐτοῦ τῷ Ἰσραήλ.
20 Οὐκ ἐποίησεν οὕτως παντὶ
ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐ-
δήλωσεν αὐτοῖς.

ΨΑΛΜ. ρμη'. 148.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.

ΑἸνεῖτε τὸν Κύριον ἐκ τῶν οὐ-
ρανῶν, αἰνεῖτε αὐτὸν ἐν
τοῖς ὑψίστοις.
2 Αἰνεῖτε αὐτὸν πάντες οἱ
ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν
πᾶσαι αἱ δυνάμεις αὐτοῦ.
3 Αἰνεῖτε αὐτὸν ἥλιος καὶ
σελήνη, αἰνεῖτε αὐτὸν πάντα
τὰ ἄστρα καὶ τὸ φῶς.
4 Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν
οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν
οὐρανῶν.
5 Αἰνεσάτωσαν τὸ ὄνομα Κυ-
ρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν·
αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
6 Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα,
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρό-
σταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
7 Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς,
δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
8 Πῦρ, χάλαζα, χιὼν, κρύ-
σταλλος, πνεῦμα καταιγίδος, τὰ
ποιοῦντα τὸν λόγον αὐτοῦ.
9 Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ,
ξύλα καρποφόρα καὶ πᾶσαι κέ-
δροι.
10 Τὰ θηρία καὶ πάντα τὰ
κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτε-
ρωτά.

11 Βασι-

11 Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοὶ, ἄρχοντες, καὶ πάντες κριταὶ γῆς.

12 Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη ὄνομα αὐτοῦ μόνου· ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ.

13 Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ· ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜ. ρμθʹ. 149.

Ἀλληλούϊα.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

2 Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν· καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

3 Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ, καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

4 Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

5 Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

6 Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

7 Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

8 Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

9 Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜ. ρνʹ. 150.

Ἀλληλούϊα.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.

2 Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

3 Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

